www.tezaurliturgic.ro



ἄσκοπος ἀπὸ ἐκκλησιαστικῆς καὶ ἐθνικῆς ἀπόψεως ἡ καθαγίασις τῶν Θρακῶν τούτων νεομαρτύρων καὶ ὑπὸ τῆς μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας ἐνεργείᾳ τῶν ἁρμοδίων, ἐκλιπόντων ἤδη τῶν πολιτικῆς φύσεως ἄλλοτε λόγων. Διότι οὗτοι οἱ μάρτυρες κατὰ τὸ εἰς αὐτοὺς τροπάριον εἶναι *«μέγα καύχημα τῆς Σαμοθράκης, νέον στήριγμα τῆς κώμης Μάκρης, καρτερόψυχοι καλλίνικοι ὀφρὺν τυράννων ταπεινώσαντες»*, κατὰ δὲ τὸ ἐγκώμιόν των *«πρεσβευταὶ διάπυροι καὶ ἰατροὶ παθῶν ἄμισθοι καὶ ἐν κινδύνοις ἕτοιμοι βοηθοὶ καὶ ἀντιλήπτορες»*.

Ἡ γλῶσσα τῆς μὲν Ἀκολουθίας εἶναι ἡ εἰθισμένη ἐκκλησιαστική, ἧς ὁ συνθέτης φαίνεται κατὰ τὸ μᾶλλον ἢ ἧττον δεξιὸς χειριστὴς ἔκ τε τῆς περὶ τὰ ἐκκλησιαστικὰ βιβλία πολλῆς τριβῆς του καὶ τῆς μιμήσεως mutatis mutandis ἄλλων ἀκολουθιῶν, ἃς εἶχε βεβαίως πρὸ ὀφθαλμῶν, τοῦ δὲ ἐγκωμιαστικοῦ λόγου ἡ τότε γραφομένη ἁπλῆ (ἁπλοελληνικὴ) τῶν λογίων καὶ διδασκάλων τοῦ γένους, οὐχὶ ὅμως ἀπηλλαγμένη σολοικισμῶν (ὀνομαστικῶν ἀπολύτων καὶ ἀνακολούθων) καὶ ἰδιωτισμῶν τινων ἰδίως ἐν τῷ ἀφηγηματικῷ μέρει. Ἐξ οὗ εἰκάζεται ὅτι ὁ συγγραφεὺς τοῦ λόγου εἴτε εἶναι αὐτὸς οὗτος τῆς Ἀκολουθίας εἴτε ὁ παρακολουθήσας τὴν ἄθλησιν τῶν μαρτύρων καὶ καθαγιάσας τὴν μνήμην αὐτῶν ἀρχιερεὺς Τραϊανουπόλεως καὶ εἶτα Μαρωνείας Ἄνθιμος δὲν ἦτο μέτοχος ἀνωτέρας συστηματικῆς ἐκπαιδεύσεως. Τοιοῦτοι ἦσαν τότε, ὡς ἐκ τῶν κωδίκων τῶν μητροπόλεων διαπιστοῦται, οἱ πλεῖστοι τῶν ἀρχιερέων καὶ ἀνωτέρων κληρικῶν.

Τὸ ἐν Μάκρῃ τοῦ Ρηγοπούλου ἀντίγραφον ἔχει κῆράς τινας, ὀφειλομένας εἴτε εἰς τὸν ἀντιγραφέα ἐν γένει εἴτε εἰς αὐτὸν τὸν συγγραφέα ἐν μέρει, ἃς ἡμεῖς διορθώσαντες ἐν τῷ μετὰ χεῖρας κειμένῳ ὑποσημειοῦμεν μετά τινων ἄλλων ἐπεξηγηματικῶν σχολίων. Ὡσαύτως προέβημεν εἰς τὴν ἀκριβῆ στίξιν, τὴν ἐκκαθάρισιν καί που τὴν συμπλήρωσιν τοῦ κειμένου τὰς μὲν παρελκούσας λέξεις τιθέμενοι ἐντὸς ἀγκυλῶν [–], τὰς δὲ συμπληρουμένας ἐντὸς παρενθέσεων (–). Ἐτηρήσαμεν ὅμως ἐν τῷ ἐγκωμιαστικῷ τοὺς σολοικισμοὺς καὶ τοὺς ἰδιωτισμούς, ὅπως μὴ μεταβληθῇ τὸ ὕφος τοῦ ῥήτορος, ὅπερ ἐν μὲν τῷ προοιμίῳ καὶ τῷ ἐπιλόγῳ εἶναι λυρικόν, ἐν δὲ τῷ διηγηματικῷ μέρει ἀφελὲς καὶ ἁπλοῦν.

Ἐν Ἀθήναις τῇ 7η Νοεμβρίου 1940.

Κ. ΜΥΡΤ. ΑΠΟΣΤΟΛΙΔΗΣ

Α′

# ΑΚΟΛΟΥΘΙΑ

**Τῶν ἐκ τῆς Σαμοθράκης νήσου πέντε νεοφανῶν Μαρτύρων Μανουήλ, Γεωργίου, Μιχαήλ, Θεοδώρου καὶ Γεωργίου ἐν Μάκρῃ κωμοπόλει τῆς Θράκης ἀθλησάντων, ἐν ἔτει ͵αωλστ′,**

**Συνταχθεῖσα**

**Παρὰ τοῦ ἐν μοναχοῖς Ἰακώβου Ἁγιορείτου διὰ προτροπῆς τοῦ κ. Ἀνθίμου ἐπισκόπου Τραϊανουπόλεως, νῦν δὲ ἀντιγραφεῖσα ἐκ τοῦ πρωτογράφου παρὰ Χρ. Ν. Ρηγοπούλου Πελοπον(νησίου), ἐν Σαμοθράκῃ 1874***

**Ἀπριλίου στ′**

**Μνήμη τῶν ἁγίων πέντε νεοφανῶν μαρτύρων τῶν ἐκ Σαμοθράκης καὶ ἐν Μάκρῃ ἀθλησάντων.**

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Προσόμοια. Ἦχος α′.
Τῶν οὐρανίων ταγμάτων.

Εὐφραίνου, τέρπου (καὶ)[1] ἀγάλλου, σκίρτα καὶ χόρευε, ὦ νῆσος[2] Σαμοθράκη· ἐκ σοῦ γὰρ ὥσπερ κρῖνα ἐξήνθησαν οἱ πέντε νεοφανεῖς καὶ ἀήττητοι μάρτυρες, ὧν τὴν χαρμόσυνον μνήμην περιχαρεῖς νῦν τελοῦμεν εὐφημοῦντες αὐτούς. – Δίς.

* Αἱ διορθώσεις τοῦ Κ.Μ. Ἀποστολίδου εἰς τὸ χειρόγραφο τῆς Μάκρης δημιουργοῦν ἀπορίαν. Καὶ τοῦτο διότι εἰς τὰς ὑποσημειώσεις ἄλλοτε παραθέτει τὴν ὀρθὴν γραφὴν καὶ ἄλλοτε τὴν λανθασμένην. Τίς πταίει; Ὁ ἐκδότης ἢ ὁ τυπογράφος τοῦ ἔτους 1941;

1. Τὸ «καὶ» φαίνεται περιττεῦον κατὰ τὴν μελῳδίαν (Σ.Θ.)

2. ἡ νῆσος.

Ἀφθόνως πᾶσιν ἐκβλύζει πηγὰς ἰάσεων ὁ θεῖος οὗτος οἶκος, ὁ ἀνεγηγερμένος ἀΐδιον εἰς μνήμην τῶν ἀθλητῶν τῶν πεντάθλων[1], στερρῶν ἀληθῶς, ἐν ᾧ ἑστῶτες ὑμνοῦμεν χρεωστικῶς τὸν αὐτοὺς λαμπρῶς δοξάσαντα.

Τοὺς ἀθλητὰς Κυρίου δεῦτε τιμήσωμεν, τοὺς νέους ἐν τοῖς χρόνοις, παλαιοὺς δὲ τοῖς ἄθλοις, φρουροὺς ἡμῶν προστάτας καὶ πρεσβευτὰς ἐκτελοῦντες τὴν μνήμην αὐτῶν· πρεσβεύουσι γὰρ οὗτοι ὑπὲρ ἡμῶν τὸν Σωτῆρα τοῦ σωθῆναι ἡμᾶς.

1. πένταθλοι (πέντε ἀθληταὶ) κακῶς ἐσχηματισμένη λέξις κατ᾽ ἀναλογίαν τοῦ π έ ν τ α θ λ ο ν, τοῦ γνωστοῦ πέντε ἀγώνων ἀγωνίσματος.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος α΄.

**Τ**ὴν τῶν μαρτύρων θείαν καλλονὴν τὴν ἱερὰν χορείαν, Σαμοθράκης βλαστήματα καὶ Μάκρης καυχήματα, ἡμῶν δὲ προστάτας, πενταρίθμους ὑπάρχοντας, ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν, πιστοί, ὡς στρατιώτας τοῦ Χριστοῦ καὶ πρεσβευτὰς ἡμῶν ἀκλινεῖς πρὸς Κύριον, ὃν καθικετεύσατε ὡς κοινωνοὶ τῶν παθημάτων αὐτοῦ καὶ σύμμορφοι ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν στίχον Προσόμοια.

Ἦχος β΄. Οἶκος ἐν Εὐφραθᾶ.

**Ὢ** θαύματος καινοῦ! ὢ ξένου μυστηρίου! πῶς ἐν ἐσχάτοις χρόνοις νεολαμπὴς χορεία Μαρτύρων ἡμῖν ἔλαμψεν.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

**Τ**έτρωται ὁ ἐχθρός, ὡς ἐν διστόμῳ ξίφει, νεοφανῶν μαρτύρων τῶν νῦν εὐφημουμένων καὶ πέπτωκεν ὁ δόλιος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

**Ο**ὐ ξίφος, οὐ σφαγή, οὐδὲ βάσανος ἄλλη τῆς τοῦ Χριστοῦ ἀγάπης τοὺς αὐτοῦ ἀθλοφόρους χωρίσαι[1] ὅλως ἴσχυσεν.

Δόξα. Ὅμοιον.

Δόξα σοι, ὦ Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ὅτι χορὸν μαρτύρων ἐν τοῖς ἐσχάτοις χρόνοις ἀνέδειξας πεντάριθμον.

Καὶ νῦν. Ὅμοιον.

**Ὢ** πρᾶγμα τε[2] [τὸ] γλυκὺ καὶ ὄνομα Μαρία, πρέσβευε τῷ υἱῷ σου μετὰ τῶν ἀθλοφόρων ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Ἀπολυτίκιον. Ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

**Τ**ούς πολυάθλους ὁπλίτας καὶ ἀκμαίους ἀδάμαντας, τοὺς καρτερικοὺς στρατιώτας, πενταυγεῖς νεομάρτυρας τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, ἀνδρείως ὡς κηρύξαντας (τὸν Σωτῆρα) Χριστόν, Μανουὴλ καὶ Μιχαῆλον σὺν Θεοδώρῳ (καὶ) Γεωργίους ἀναβοῶντες: δόξα τῷ ἐνισχύσαντι αὐτούς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ τὴν σεπτὴν αὐτῶν μνήμην δοξάσαντι.

Καὶ τῆς ἑορτῆς.

1. Χωρῆσαι
2. τό.

## ΕΝ ΤΩ͂Ι ΜΕΓΑΛΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Μακάριος ἀνήρ. Κύριε ἐκέκραξα.

Προσόμοια. Ἦχος α΄. εἰς η΄.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

**Ὢ** τοῦ παραδόξου θαύματος, οἱ λαμπροὶ τοῦ Χριστοῦ καλλίνικοι μάρτυρες, πεντὰς ἡ περικαλλὴς καὶ ἀξιέπαινος, τὴν πλάνην Ἀγαρηνῶν καταβροντήσασα ᾔσχυνεν ἄριστα καὶ πίστιν τὴν τοῦ Χριστοῦ ὁμολογήσασα ἤθλησεν ἄριστα, οὓς ἀνευφημοῦντες πόθῳ τὸν Σωτῆρα Κύριον τὸν ἰσχύσαντα τούτους καὶ δοξάσαντα δοξάσωμεν.

**Σ**ήμερον φαιδρὰν πανήγυριν τῶν πιστῶν χορείαν λαμπρῶς συστησάμενοι τιμήσωμεν τοὺς σεπτοὺς μεγαλομάρτυρας, κραυγάζοντες πρὸς αὐτούς: τῆς Σαμοθράκης καὶ Μάκρης καυχήματα, νοσούντων θεραπευταὶ καὶ ἰατροὶ καχεκτούντων πανάριστοι, νόσων καὶ δεινῶν ὀδυνῶν ἡμᾶς θεραπεύσατε, τοὺς τιμῶντας ἐκ πόθου τὴν φαιδρὰν ἡμῶν πανήγυριν.

**Δ**εῦτε τῶν πιστῶν ὁ σύλλογος ᾄσμασι κροτοῦντες (λαμπρῶς ἀνυμνήσωμεν τοὺς πενταρίθμους σεπτοὺς) μεγαλομάρτυρας, μέλψωμεν γηθόμενοι τοὺς πέντε στερροὺς Χριστοῦ μεγαλομάρτυρας, οὓς ἤνθισεν ὡς τερπνὰ ῥόδα καὶ κρῖνα ἡ Σάμος τῆς Θράκης [ἡ] μέν, ἡ Μάκρη δὲ ἡ λαμπρὰ ἄθλοις παντοίοις στερρῶς κατεστόμωσε καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἔστεψεν, ὡς γενναίους ὁπλίτας καὶ σεπτοὺς μεγαλομάρτυρας.

**Χ**αίροις Μανουὴλ πανένδοξε, ὁ ἐλέγξας πλάνην Ἀγαρηνῶν τὴν κακίστην[1] καὶ πάνσοφε Μιχαὴλ τῆς Κύπρου βλάστημα, Γεώργιοι οἱ στερροὶ σὺν Θεοδώρῳ, πεντὰς ἡ ἐξάκουστος, οἱ ἐν ἐσχάτοις καιροῖς ἀναφανέντες ἀστέρες πολύφωτοι καὶ τῶν ἀσεβῶν τὸ θράσος ταῖς ὑμῶν ἐνστάσεσιν ἐκνικήσαντες ἅμα καὶ Χριστῷ συμβουλεύοντι[1].

1. κακίστου.

Ἕτερα προσόμοια. Ἔδωκας σημείωσιν.

**Ὅ**τε τοῖς παθήμασι τοῖς σοῖς, Χριστέ, ἐστερέωσας οἰκουμένης τὰ πέρατα, τότε θείαν δύναμιν καὶ ἡ ἀσθενοῦσα φύσις τῶν ἀνθρώπων περιεζώσατο, Χριστέ· ὅθεν ἐν τούτοις τοῖς χρόνοις ἤθλησαν κατὰ τοῦ πολεμήτορος πέντε στερροὶ καλλιμάρτυρες καὶ βαρβάρων ὠμότητα[2] παντελῶς ἀπημαύρωσαν.

**Σ**τόματα ἀνοίξαντες μεγαλομάρτυρες πάνσοφοι ἐν σταδίῳ εἱλκύσατε[3] πνεῦμα, καθὼς γέγραπται, καὶ Θεὸν τῶν ὅλων τὸν Χριστὸν ἀνδρείως γλώσσῃ, καρδίᾳ καὶ ψυχῇ ἐχθρῶν ἐπίπροσθεν ἐκηρύξατε καὶ θάνατον ἑκούσιον πανευκλεῶς ὑπεμείνατε· διὰ τοῦτο ἐστέφθητε παρ᾽ αὐτοῦ ἀξιάγαστοι.

**Ἀ**οίδιμον θάνατον τοῦ μαρτυρίου ποθήσαντες τὴν ζωὴν τὴν αἰώνιον φαιδρῶς ἐκληρώσασθε, μάρτυρες γενναῖοι πεντάριθμοι ὄντες[4], καὶ χαρμονὴν διηνεκῆ, Χριστὸν ἀπαύστως καθικετεύοντες δωρήσασθαι[5] συγχώρησιν ἡμῖν πταισμάτων καὶ ἔλεος τοῖς ἐν πίστει γεραίρουσι τὴν ὑμῶν μνήμην σήμερον.

1. συμβασιλεύοντες.
2. ὁμότητα.
3. εἱλκύσαντες.
4. ὄντως.
5. δωρήσασθε.

www.tezaurliturgic.ro



Δόξα. Ἦχος α'.

Τὴν τῶν μαρτύρων θείαν καλλονὴν τὴν ἱερὰν χορείαν, Σαμοθρᾴκης βλαστήματα καὶ Μάκρης καυχήματα, ἡμῶν δὲ προστάτας, πενταρίθμους ὑπάρχοντας, ἐν ᾠδαῖς ᾀσμάτων εὐφημήσωμεν, πιστοί, ὡς στρατιώτας τοῦ Χριστοῦ καὶ πρεσβευτὰς ἡμῶν ἀκλινεῖς πρὸς Κύριον, ὃν καθικετεύσατε ὡς κοινωνοὶ τῶν παθημάτων αὐτοῦ καὶ σύμμορφοι ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς ἑορτῆς.

Εἰς τὸν στίχον Προσόμοια.

Ἦχος β'. Οἶκος ἐν Εὐφραθᾶ.

Ὢ θαύματος καινοῦ! ὢ ξένου μυστηρίου! πῶς ἐν ἐσχάτοις χρόνοις νεολαμπὴς χορεία Μαρτύρων ἡμῖν ἔλαμψεν.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Τέτρωται ὁ ἐχθρός, ὡς ἐν διστόμῳ ξίφει, νεοφανῶν μαρτύρων τῶν νῦν εὐφημουμένων καὶ πέπτωκεν ὁ δόλιος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Οὐ ξίφος, οὐ σφαγή, οὐδὲ βάσανος ἄλλη τῆς τοῦ Χριστοῦ ἀγάπης τοὺς αὐτοῦ ἀθλοφόρους χωρίσαι[1] ὅλως ἴσχυσεν.

Δόξα. Ὅμοιον.

Δόξα σοι, ὦ Τριάς, Πάτερ, Υἱὲ καὶ Πνεῦμα, ὅτι χορὸν μαρτύρων ἐν τοῖς ἐσχάτοις χρόνοις ἀνέδειξας πεντάριθμον.

Καὶ νῦν. Ὅμοιον.

Ὢ πρᾶγμα τε[2] [τὸ] γλυκὺ καὶ ὄνομα Μαρία, πρέσβευε τῷ υἱῷ σου μετὰ τῶν ἀθλοφόρων ὑπὲρ ἡμῶν τῶν δούλων σου.

Ἀπολυτίκιον. Ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τοὺς πολυάθλους ὁπλίτας καὶ ἀκμαίους ἀδάμαντας, τοὺς καρτερικοὺς στρατιώτας, πενταυγεῖς νεομάρτυρας τιμήσωμεν ἐν ὕμνοις καὶ ᾠδαῖς, ἀνδρείως ὡς κηρύξαντας (τὸν Σωτῆρα) Χριστόν, Μανουὴλ καὶ Μιχαῆλον σὺν Θεοδώρῳ (καὶ) Γεωργίους ἀναβοῶντες: δόξα τῷ ἐνισχύσαντι αὐτούς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ τὴν σεπτὴν αὐτῶν μνήμην δοξάσαντι.

Καὶ τῆς ἑορτῆς.

1. Χωρῆσαι
2. τό.

## ΕΝ Τῼ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Μακάριος ἀνήρ. Κύριε ἐκέκραξα.

Προσόμοια. Ἦχος α'. εἰς η'.

Ἦχος α'. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, οἱ λαμπροὶ τοῦ Χριστοῦ καλλίνικοι μάρτυρες, πεντὰς ἡ περικαλλὴς καὶ ἀξιέπαινος, τὴν πλάνην Ἀγαρηνῶν καταβροντήσασα ᾔσχυνεν ἄριστα καὶ πίστιν τὴν τοῦ Χριστοῦ ὁμολογήσασα ἤθλησεν ἄριστα, οὓς ἀνευφημοῦντες πόθῳ τὸν Σωτῆρα Κύριον τὸν ἰσχύσαντα τούτους καὶ δοξάσαντα δοξάσωμεν.

Σήμερον φαιδρὰν πανήγυριν τῶν πιστῶν χορείαν λαμπρῶς συστησάμενοι τιμήσωμεν τοὺς σεπτοὺς μεγαλομάρτυρας, κραυγάζοντες πρὸς αὐτούς: τῆς Σαμοθρᾴκης καὶ Μάκρης καυχήματα, νοσούντων θεραπευταὶ καὶ ἰατροὶ καχεκτούντων πανάριστοι, νόσων καὶ δεινῶν ὀδυνῶν ἡμᾶς θεραπεύσατε, τοὺς τιμῶντας ἐκ πόθου τὴν φαιδρὰν ἡμῶν πανήγυριν.

Δεῦτε τῶν πιστῶν ὁ σύλλογος ᾄσμασι κροτοῦντες (λαμπρῶς ἀνυμνήσωμεν τοὺς πενταρίθμους σεπτοὺς) μεγαλομάρτυρας, μέλψωμεν γηθόμενοι τοὺς πέντε στερροὺς Χριστοῦ μεγαλομάρτυρας, οὓς ἤνθισεν ὡς τερπνὰ ῥόδα καὶ κρῖνα ἡ Σάμος τῆς Θρᾴκης [ἡ] μέν, ἡ Μάκρη δὲ ἡ λαμπρὰ ἄθλοις παντοίοις στερρῶς κατεστόμωσε καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἔστεψεν, ὡς γενναίους ὁπλίτας καὶ σεπτοὺς μεγαλομάρτυρας.

Χαίροις Μανουὴλ πανένδοξε, ὁ ἐλέγξας πλάνην Ἀγαρηνῶν τὴν κακίστην[1] καὶ πάνσοφε Μιχαὴλ τῆς Κύπρου βλάστημα, Γεώργιοι οἱ στερροὶ σὺν Θεοδώρῳ, πεντὰς ἡ ἐξάκουστος, οἱ ἐν ἐσχάτοις καιροῖς ἀναφανέντες ἀστέρες πολύφωτοι καὶ τῶν ἀσεβῶν τὸ θράσος ταῖς ὑμῶν ἐνστάσεσιν ἐκνικήσαντες ἅμα καὶ Χριστῷ συμβουλεύοντι[1].

1. κακίστου.

Ἕτερα προσόμοια. Ἔδωκας σημείωσιν.

Ὅτε τοῖς παθήμασι τοῖς σοῖς, Χριστέ, ἐστερέωσας οἰκουμένης τὰ πέρατα, τότε θείαν δύναμιν καὶ ἡ ἀσθενοῦσα φύσις τῶν ἀνθρώπων περιεζώσατο, Χριστέ· ὅθεν ἐν τούτοις τοῖς χρόνοις ἤθλησαν κατὰ τοῦ πολεμήτορος πέντε στερροὶ καλλιμάρτυρες καὶ βαρβάρων ὠμότητα[2] παντελῶς ἀπημαύρωσαν.

Στόματα ἀνοίξαντες μεγαλομάρτυρες πάνσοφοι ἐν σταδίῳ εἱλκύσατε[3] πνεῦμα, καθὼς γέγραπται, καὶ Θεὸν τῶν ὅλων τὸν Χριστὸν ἀνδρείως γλώσσῃ, καρδίᾳ καὶ ψυχῇ ἐχθρῶν ἐπίπροσθεν ἐκηρύξατε καὶ θάνατον ἑκούσιον πανευκλεῶς ὑπεμείνατε· διὰ τοῦτο ἐστέφθητε παρ' αὐτοῦ ἀξιάγαστοι.

Ἀοίδιμον θάνατον τοῦ μαρτυρίου ποθήσαντες τὴν ζωὴν τὴν αἰώνιον φαιδρῶς ἐκληρώσασθε, μάρτυρες γενναῖοι πεντάριθμοι ὄντες[4], καὶ χαρμονὴν διηνεκῆ, Χριστὸν ἀπαύστως καθικετεύοντες δωρήσασθαι[5] συγχώρησιν ἡμῖν πταισμάτων καὶ ἔλεος τοῖς ἐν πίστει γεραίρουσι τὴν ὑμῶν μνήμην σήμερον.

1. συμβασιλεύοντες.
2. ὁμότητα.
3. εἱλκύσαντες.
4. ὄντως.
5. δωρήσασθε.

www.tezaurliturgic.ro



Ἴσους διανύσαντες[1] πόνους πληγάς τε καὶ μάστιγας καὶ ποινὰς τοῖς ἀθλήσασιν ἴσους ἀπειλήφατε παρὰ τοῦ Δεσπότου τοὺς λαμπροὺς στεφάνους, μεγαλομάρτυρες, σαφῶς καὶ νῦν ἐν δόξῃ θείᾳ αὐλίζεσθε, πρεσβεύοντες πρὸς Κύριον διηνεκῶς περισῴζεσθαι[2] τοὺς ὑμᾶς μετὰ πίστεως εὐκλεῶς μακαρίζοντας.

Δόξα. Ἦχος πλάγιος β′.

Ὑπὲρ Χριστοῦ νομίμως ἀθλήσαντες, πεντάριθμοι μεγαλομάρτυρες, καὶ τοῖς αἰσθητοῖς τυράννοις τοὺς νοητοὺς καταβαλόντες τυράννους, ἐπαξίους στεφάνους ἀπειλήφατε παρὰ τοῦ ἀθλοθέτου Σωτῆρος Χριστοῦ· καὶ νῦν ἐν Οὐρανοῖς τῶν Ἀγγέλων τοῖς τάγμασι συναγαλλόμενοι καὶ τῷ τρισυποστάτῳ καὶ πρώτῳ λαμπρυνόμενοι φέγγει, τῆς ἀνωτάτης[3] φωτοχυσίας συναπολαύοντες τρανῶς μέμνησθε καὶ ἡμῶν τῶν βοώντων ὑμῖν· Χαίρετε ἀδαμάντινοι τὴν ψυχὴν καὶ καρτερικώτατοι ὁπλῖται Χριστοῦ. Χαίρετε οἱ τὴν πλάνην τὴν κακόσπορον[4] τοῦ ἀποστάτου ἀπελέγξαντες καὶ τὴν ἀληθῆ πίστιν τοῦ Χριστοῦ τρανῶς ἀνακηρύξαντες. Σήμερον ἅπας ὁ κόσμος χαίρει καὶ τῶν ἀγώνων τὸ ἄπειρον εὐλαβούμενος καταγεραίρει ὑμᾶς· Ἄγγελοι σὺν ἀθλοφόροις λευχειμονοῦντες περιχαρῶς εὐφημοῦσιν ὑμᾶς, τοὺς τεμόντας τὰς ἐπινοίας τῶν παρανόμων· ἀλλὰ πρεσβεύσατε Χριστῷ τῷ Θεῷ καὶ ἡμᾶς τοὺς ἐν πίστει ἐκτελοῦντας[5] τὴν ἀεισέβαστον μνήμην ὑμῶν ἀξιῶσαι τῶν αἰωνίων ἀγαθῶν, πεντάριθμοι μάρτυρες.

Καὶ νῦν, Τίς μὴ μακαρίσει σε: ἢ τῆς Ἑορτῆς.

Εἴσοδος. Φῶς Ἱλαρόν. Προκείμενον.

Ἀναγνώσματα τοῦ Ἁγίου Γεωργίου.

Εἰς τὴν Λιτήν, Ἦχος α′.

Ἀγάλλεται σήμερον ἡ Ἐκκλησία τοῦ Χριστοῦ λαμπρυνομένη τῇ χάριτι, καὶ πιστῶς πανηγυρίζει τῶν φιλεόρτων τὰ συστήματα ἐπὶ τῇ ἐνδόξῳ μνήμῃ τῶν πέντε νεοφανῶν μαρτύρων καὶ Χριστὸν τὸν ἀθλοθέτην δοξάζει, τὸν τὴν χάριν νέμοντα[1] τοῖς ἁγίοις αὐτοῦ μάρτυσι· δεῦτε οὖν φιλομάρτυρες, τὴν θείαν αὐτῶν ἐκτελέσωμεν ἄθλησιν ἱκετεύοντες Χριστὸν τοῦ ῥυσθῆναι τὴν οἰκουμένην ἐκ παντοίων θλίψεων.

Ἦχος β′.

Δεῦτε φιλομάρτυρες πάντες καὶ τῶν θείων ἀγώνων ἐρασταὶ τοὺς πενταρίθμους ἀθλητάς, Σαμοθρᾴκης τὰ περίβλεπτα ἀκούσματα, ἱεραῖς μελῳδίαις εὐσεβοφρόνως εὐφημήσωμεν, ὅτι τὸν τύραννον Ἀλβανὸν καταβαλόντες τῇ ἰσχύϊ[2] τοῦ Σωτῆρος ῥωννύμενοι ἐπαξίως καὶ τὸν τῆς νίκης στέφανον ἐκομίσαντο καὶ τοῖς μετὰ πίστεως αὐτοὺς ἐπικαλουμένοις μέγιστοι ἐν ἀνάγκαις ἐπίκουροι ἐφίστανται· αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἦχος ὁ αὐτός.

Λῆξιν προορῶντες τὴν μέλλουσαν, ἀθλοφόροι νεομάρτυρες, πρὸς τὰ σκάμματα τῆς ἀθλήσεως προθύμως ἐχωρήσατε, τὰς βασάνους ὡς τρυφὰς ἡγούμενοι καὶ τὸν θάνατον ὡς ζωὴν λογιζόμενοι καὶ νομίμως τελέσαντες τὸν δρόμον τοῦ μαρτυρίου τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ νομίμως ἀπειλήφατε δυσωποῦντες ἀδιαλείπτως ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων τοὺς ἄθλους[3] ὑμῶν παναοίδιμοι.

Ἦχος δ′.

Ἰδοὺ νῦν ἐξέλαμψεν ἡ ὁλόφωτος πανήγυρις τῶν ἀθλοφόρων Χριστοῦ, ὡς ἀστέρας νοουμένους προβαλλομένη τούτους, τὰς διανοίας τῶν πιστῶν φωτίζοντας καὶ τὰ νέφη τῶν παθῶν ἐκδιώκοντας, οἷς ἐν πίστει βοήσωμεν: Χαίρετε, στρατιῶται στεῤῥότατοι τοῦ βασιλέως τῶν δυνάμεων, οἱ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους τῇ

1. διανύσαντας.
2. περισῴζεσθε.
3. ἀνωτάτῳ.
4. καχέσπερον. (Οὕτως καί ἐν τῷ χειρογράφῳ).
5.ἐκτελοῦντες.

1. τῷ νέμοντι.
2. ἰσχύει.
3. τὰ ἄθλα.



πίστει τροπωσάμενοι καὶ Χριστὸν φωτοδότην ἐν τοῖς οἰκείοις μέλεσι δοξάσαντες· πρὸς ὃν πρεσβείαν ποιήσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Τετρώμενοι ὅλως τῇ πρὸς Χριστὸν τελειοτάτῃ ἀγάπῃ, ἀοίδιμοι μάρτυρες, πρὸς τοὺς μαρτυρικοὺς ἀγῶνας ῥωμαλέῳ φρονήματι ηὐτομολήσατε, τοῦ σώματος μὴ φεισάμενοι· διὸ καὶ εἱρκτῇ συγκλειόμενοι, λακτιζόμενοι, σπαραττόμενοι, [διό] καὶ ὀβελίσκοις[1] προσριπτόμενοι καὶ πικρῶς ἀνηλεῶς θανατούμενοι, χαίροντες τὰ πνεύματα ὑμῶν Χριστῷ παρεδώκατε. Παρουσίαν[2] οὖν ἔχοντες ἀθλητικὴν πρὸς αὐτὸν ἱκετεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. α′.

Ἐξέλαμψε σήμερον ἡ ἐτήσιος μνήμη τῶν πενταρίθμων ἀθλοφόρων Χριστοῦ, τῶν διὰ Χριστὸν τὸ σῶμα ἐκδόντων ταῖς βασάνοις, τῶν σκυθρωπῶν ἠθῶν ἀπελαύνουσα σκοτομανίαν[3] καὶ ζωῆς αἰωνίου πρόξενος γινομένη[4] τοῖς πιστοῖς· τούτους εὐφημοῦντες προσείπωμεν: Χαίρετε, ἀδαμάντινοι, οἱ τὴν ψυχὴν ἄτρωτον ταῖς βασάνοις διατηρήσαντες καὶ τῶν τυράννων τὰ θράση τῇ καρτερίᾳ ὑμῶν καταπλήξαντες· Χαίρετε, Μανουήλ, Γεώργιε, Μιχαήλ, Γεώργιε καὶ Θεόδωρε, πολύαθλοι, πανθαύμαστοι μάρτυρες· Πρεσβεύσατε τοῦ σωθῆναι τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Καὶ νῦν, τῆς ἑορτῆς.

Εἰς τὸν στίχον· Προσόμοια.

Ἦχος πλ. α′. Χαίροις ἀσκητικῶν.

Πλοῦτον ἐν οὐρανοῖς νοητόν, ἀγωνισμάτων θησαυρίσαντες Ἅγιοι, τὴν δόξαν τῶν ἐπικήρων καὶ φαινομένων, σοφοί, τὸν παρόντα πλοῦτον ἐβδελύξασθε· διὸ τὸν[5] ἀκένωτον τῶν θαυμάτων ἐλάβατε παρὰ Κυρίου[1] ἀληθῶς ἀξιάγαστοι, τὰ παράδοξα ἰαμάτων χαρίσματα· ὅθεν καὶ πλουτιζόμενοι αὐτῶν ἐπιλάμψεσι πίστει καὶ πόθῳ τῆς θείας φιλανθρωπίας αἰτούμεθα· τυχεῖν ὑμῶν θείαις ἱκεσίαις, ἀθλοφόροι Χριστοῦ πανεύφημοι.

Στίχος: Θαυμαστὸς ὁ Θεός.

Δόξα τῷ ἀθλοθέτῃ Θεῷ, τῷ εὐδοκήσαντι (ἐν) Μάκρῃ ἀθλῆσαι ὑμᾶς καὶ στήριγμα τοῖς ἐν πίστει τοῖς εὐολίσθοις στεῤῥὸν ἀναδεῖξαι, μάρτυρες ὦ πεντάριθμοι, ἀγρύπνους τε φύλακας Σαμοθρᾴκης πατρίδος ὑμῶν καὶ πολιούχους καὶ ταχεῖς ἀντιλήπτορας ἐπιστήσαντι τοῖς οἰκήτορσιν ἅπασι, ῥύστας[2] καὶ βοηθοὺς ἡμῶν τῶν πόθῳ, πανένδοξοι, ἐπιτελούντων τὴν θείαν μνήμην ὑμῶν τὴν σεβάσμιον, Χριστὸν δυσωπεῖτε ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχος: Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Πάρεστε ἀοράτως ἡμῖν, τοῖς ἐν ᾠδαῖς ὑμῶν ἀγῶνας δοξάζουσι, μαρτύρων νέων ἡ δόξα καὶ παλαιῶν ἱερῶν, ἀθλοφόροι θεῖοι, ἐγκαλλώπισμα, ἡμᾶς ἐπισκέποντες[3] καὶ τὴν χάριν βραβεύοντες τοῖς ἐκτελοῦσι[4] τὴν ὑμῶν νῦν πανήγυριν καὶ αἰτήσατε ταῖς ψυχαῖς ἡμῶν λύτρωσιν, ὅπως ταῖς προσευχαῖς ὑμῶν λυτρούμενοι θλίψεων καὶ πολυπλόκων σκανδάλων καὶ λοιμικῆς νόσου πάντοτε ὑμᾶς κατὰ χρέος εὐφημῶμεν[5] Χριστὸν τὸν Σωτῆρα ἡμῶν δοξάζοντες.

Δόξα. Ἦχος β′.

Δεῦτε τῶν εὐσεβῶν ἡ ὁμήγυρις, νοῦν τε καὶ καρδίαν καθάραντες δεῦτε αἶνον ᾄσωμεν τῷ στεφοδότῃ Χριστῷ ἐπὶ τῇ πολυωδύνῳ ἀθλήσει τῶν ἀθλοφόρων τοῦ Χριστοῦ· σήμερον γὰρ ἡ τῶν πραέων γῆ τούτους δέχεται, ὡς μιμητὰς τοῦ σωτηρίου πάθους, καὶ τῶν ἀγώνων τὸ πλῆθος

1. ὀβελίσκοι.
2. παρρησίαν. (Οὕτως καὶ ἐν τῷ χειρογράφῳ).
3. σκοτόμαιναν.
4. γενομένη.
5. τήν.

1. **Κυρίῳ.**
2. ῥύστεις.
3. ἐπισκέπτοντες.
4. ἐκτελοῦντας.
5. εὐφημοῦμεν.

www.tezaurliturgic.ro



εὐλαβουμένη τῷ νικοποιῷ Χριστῷ δόξαν ἀπονέμει, ἣν καὶ κληρωσάμενοι συνδιαιωνίζουσιν αὐτῷ ὑπὲρ ἡμῶν αὐτὸν ἱλεούμενοι· πάντες οὖν προσείπωμεν αὐτοῖς δεόμενοι: εὐσεβῶν θεῖαν ἄθροισιν, Ἅγιοι, περιφυλάττετε τὴν ἐκ πόθου τελοῦσαν τὴν φωτοφόρον ὑμῶν ἄθλησιν.

Καὶ νῦν, τῆς ἑορτῆς. Ἀπολυτίκιον[1]. Ἦχος γ'.

Πέντε μάρτυρες οἱ Σαμοθρᾴκης γόνοι πέλοντες καὶ ἐν τῇ Μάκρῃ τοῦ μαρτυρίου τὸν δρόμον ἀνύσαντες καὶ καταισχύναντες πλάνην τὴν βέβηλον καὶ τὴν ὀρθόδοξον πίστιν κηρύξαντες τοὺς τὴν πάμφωτον μνήμην ὑμῶν γεραίροντας λυτρώσατε ἐκ πάσης περιστάσεως.

Καὶ τὸ εἰς τὸν μικρὸν ἑσπερινόν.

1. Ἄλλα ἀπολυτίκια βλ. ἐν τέλει μικροῦ ἑσπερινοῦ καὶ ἐν τέλει τοῦ βιβλίου.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν στιχολογίαν. Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὢ θαῦμα φοβερόν, καὶ παράδοξον τέρας, πῶς ἔφερον πληγάς, ἀνεικάστους πανδείνους, οἱ ἔνδοξοι μάρτυρες· καὶ τυράννοις ἐκραύγαζον, οὐκ ἀρνούμεθα, Χριστοῦ τὴν ἔνθεον πίστιν, ἀλλὰ στέργομεν, αὐτῷ τὰ ἄχραντα πάθη, δι' ὧν κόσμος σέσωσται.

Δόξα. Ὅμοιον.

Θεὸν ἐπὶ τῆς γῆς σταυρωθέντα βουλήσει ἐπέγνωτε, σοφοὶ ἀθλοφόροι Κυρίου· καὶ τούτῳ ἑπόμενοι μέχρις αἵματος, ἔνδοξοι ἀπολαύετε τὴν αἰωνίζουσαν δόξαν, ἱκετεύοντες ὑπὲρ ἡμῶν τῶν ἐκ πόθου τελούντων τὴν μνήμην ὑμῶν.

Εἰς τὴν β' στιχολογίαν, Κάθισμα.

Θείας πίστεως.

Ἀκμαιότατοι, οἷον ἀδάμας καὶ ὡς ἄσαρκοι γενναιοφρόνως τὰς ἀφορήτους ἀλγηδόνας ἠνέγκατε· ὅθεν τῆς νίκης στεφάνους εἰλήφατε παρὰ Χριστοῦ, ἀθληφόροι πεντάριθμοι, ἱκετεύοντες αὐτὸν ἐκτενῶς, ἀοίδιμοι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Μετὰ τὸν πολυέλεον. Κάθισμα.

Κατεπλάγη Ἰωσήφ.

Κατεπλάγησαν, σοφοί, αἱ τῶν ἀγγέλων στρατιαὶ καθορῶσαι τὴν ὑμῶν ἀνδρείαν, μάρτυρες Χριστοῦ, ἣν ἐδείξατε ἐν ταῖς βασάνοις γενναιοφρόνως· ὅθεν καί, στεφάνους πλεξάμενοι ἀμαραντίνους, ἐνδόξους κατέστεψαν τὰς κεφαλὰς ὑμῶν χαίροντες (καὶ) δοξολογοῦσι Χριστὸν τὸν μόνον Θεὸν σὺν ὑμῖν εἰς αἰῶνας.

Καὶ τῆς ἑορτῆς.

Εὐαγγέλιον τοῦ Ἁγίου Γεωργίου.

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον. Ἦχος β'.

Μαρτυρίου καλλοναῖς ὡραϊζόμενοι ἀθλοφόροι καὶ στεφανηφοροῦντες τῷ Δεσπότῃ παρέστητε, δυσωποῦντες ἐκτενῶς ὑπὲρ ἡμῶν τῶν τελούντων τὴν ἱερὰν ὑμῶν ἄθλησιν.

Ὁ Κανὼν τῆς ἑορτῆς. Καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς· Μάρτυρας ὑμνῶν τοῦ Ἰησοῦ προφρόνως Ἰάκωβος.

Ὠδὴ α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

Μαρτύρων θεοστεφῶν τὴν ἔνδοξον μνήμην γεραίροντι[1] φῶς νοητόν μοι δώρησαι, Χριστέ, τὴν ἀχλὺν ἀπελαύνων μου τῆς ἁμαρτίας, δέομαι, καὶ καταυγάζων τὰς αἰσθήσεις μου.

Ἀνύστακτον τῆς ψυχῆς κτησάμενοι τὸ ὄμμα, πάνσοφοι, τὰς ἑλεπόλεις πάσας τοῦ ἐχθροῦ παντελῶς ἠφανίσατε καὶ ἀσινὲς ὀχύρωμα τὸ τῆς ψυχῆς διετηρήσατε.

Ρητόρων τὰς φληναφίας, μάρτυρες, στερρῶς ἠλέγξατε καὶ αἰκισμοὺς καὶ μάστιγας πολλὰς ἀνδρικῶς ὑπεμείνατε καὶ στεφάνους ἤρασθε νίκης πεντὰς ἡ ἀξιέπαινος.

1. γεραίροντες.

www.tezaurliturgic.ro



Τυράννων τὰς ἀπειλὰς καὶ μάστιγας οἱ θεῖοι μάρτυρες ἀντ᾽ οὐδενὸς ἡγήσαντο Χριστοῦ τῇ ἀγάπῃ πυρούμενοι καὶ πρὸς τὸν τούτου ἔρωτα ἀκατασχέτως ἐπαγόμενοι.

Θεοτοκίον.

Ὑψώθη τῶν γηγενῶν τὸ φύραμα, τῷ θείῳ τόκῳ σου, ἀπό τῆς γῆς εἰς ὕψος Οὐρανοῦ, ὅθεν πρὶν τοῦ προπάτορος, τῇ παραβάσει ἄχραντε εἰς Ἅδου βάραθρα πεπτώκασι.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ῥημάτων ὑμῶν[1] ὀρθῶν τῇ ἀληθείᾳ ἀντειπεῖν[2], πάνσοφοι, ἐν οὐδενὶ ἴσχυσαν πάντες οἱ τοῦ ψεύδους ἐξάρχοντες.

Ἀθλήσαντες καρτερῶς τείχη ἀνδρείας τοῖς πιστοῖς ὤφθητε, πᾶσαν ἐχθροῦ ἔνεδραν ἀποσκορακίζοντες, ἅγιοι.

Στεῤῥότητι λογισμοῦ, ὥσπερ ἀδάμαντες φαιδροὶ ὤφθητε, πέντε στεῤῥοὶ μάρτυρες ἐχθρῶν προσβολαῖς ἀταπείνωτοι.

Ὑπέρτιμον καὶ φαιδράν, ὡς πορφυρίδα τὰ σεπτὰ αἵματα ὑμῶν, σοφοί, ἔχουσα νῦν ἡ Ἐκκλησία φαιδρύνεται.

Θεοτόκιον.

Μετάνοιαν τοῖς ἐν γῇ ὁ γεννηθεὶς ἐκ σοῦ, σεμνή, ἔθετο, διὸ κἀμοὶ ἐδωρήσατο καιρὸν μετανοίας, πανάχραντε.

Καταβασία. Κάθισμα.

Κατεπλάγη Ἰωσήφ.

Κατεβάλετε[3] στεῤῥῶς τῇ πανοπλίᾳ τοῦ Χριστοῦ τὸν ἀντίπαλον ἐχθρὸν ἅμα τοῖς τούτου ὑπουργοῖς, τὸν δὲ Σωτῆρα ἐν μέλεσι τοῖς οἰκείοις, μάρτυρες σοφοί, ἐδοξάσατε. Ὅθεν παρ᾽ αὐτοῦ ἐδοξάσθητε πᾶσι τοῖς πιστοῖς πηγάζοντες ἰάσεις ψυχῆς ὁμοῦ τε καὶ σώματος· διὸ τοῖς πίστει ὑμᾶς[1] τιμῶσιν ῥῶσιν[2] θείαν βραβεύσατε.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Νικητὰς[3] ὑμᾶς ἔστεψεν ἐν στεφάνοις ὁ βασιλεύς, πανένδοξοι, πάντων τῶν αἰώνων στησαμένους τρόπαια κατὰ τοῦ ἀλάστορος, λίαν θαυμαστὰ καὶ ἀξαίσια.

Ὥσπερ ἀείφωτοι ἐκκλησίας ἀστέρες τὸ κραταιὸν στερέωμα φαιδρῶς δᾳδουχεῖτε[4], νύκτα σκοτεινόμορφον, πεντάριθμοι μάρτυρες, τὴν βαρβάρων πλάνην ἐλαύνοντες.

Τοὺς διαυγεῖς μαργαρίτας θησαυρισμάτων τοῦ παναγίου πνεύματος πνευματικοῖς ὕμνοις σήμερον τιμήσωμεν· τὴν ῥύσιν[5] γὰρ νέμουσι τοῖς αὐτοὺς[6] ἐν πίστει γεραίρουσιν.

Θεοτοκίον.

Οὐρανὸν ὡσεὶ δέῤῥιν ἐκτείνων, Κόρη, σὲ (ἐν) οὐρανῷ ἀνέδειξε καὶ γῆς πλατυτέραν μήτραν ἀπειρόγαμον τὴν σήν, ὡς ηὐδόκησεν, οἰκήσας, Θεόνυμφε Δέσποινα.

Καταβασία. Ἐπὶ τῆς θείας.

Ὠδὴ ε΄. Σύ, Κύριέ μου φῶς.

Ὕφαναν ἑαυτοῖς σωτηρίας[7] ἱμάτιον τῇ πίστει οἱ ἀθλοφόροι ἐξ ἐκείνων αἱμάτων ὡς χλαῖναν τοῦτο βάψαντες.

Ἰκρίῳ τοῦ σταυροῦ κρεμασθέντα τὸν Κύριον οἱ μάρτυρες καθορῶντες ἐμιμήσαντο τούτου τὰ πάνσεπτα παθήματα.

Ἠράσθησαν, Χριστέ, τοῦ σοῦ κάλλους οἱ Ἅγιοι καὶ δρόμῳ ἀνεπιστρόφῳ ἐν ὁδῷ μαρτυρίου, σοὶ πόθῳ ἠκολούθησαν[8].

1. ἡμῶν.
2. ἀντιπεῖν.
3. κατεβάλλετε.

1. τῇ ἡμᾶς.
2. ῥῦσιν.
3. νικηταῖς.
4. δᾳδουχεῖται.
5. ῥῶσιν.
6. αὐτοῦ.
7. σωτηρίου.
8. Κατὰ τὴν ἀκροστιχίδα «Μάρτυρας ὑμνῶν τοῦ Ἰησοῦ



Θεοτοκίον.

Ὄρος σε ὡς δασὺ καὶ κατάσκιον, ἄχραντε, καὶ πῖον πνεύματι θείῳ οἱ προφῆται προεῖδον, ἐξ ἧς Χριστὸς ἐλήλυθεν.

Καταβασία. Ὀρθρίσωμεν ὄρθρου.

Ὠδὴ στ΄. Θύσω σοι μετὰ φωνῆς.

Ὕψωσεν ὡς τὰς κέδρους Λιβάνου ὁ Ὕψιστος ὑμᾶς στεῤῥῶς[1] φυτευθέντας (ἐν) οἴκῳ τοῦ Κυρίου καὶ ἀνθοῦντας ἐν αὐλαῖς τοῦ Θεοῦ, ὥσπερ γέγραπται.

Πλάτυνον, Ἐκκλησία Θεοῦ, τὰς ἐπαύλεις σου καὶ πανηγύριζε ἄρτι τοὺς στεῤῥοὺς ἐξάρχοντας ἀθλοφόρους, κεκτημένη[2] καὶ τὴν[3] τούτων ἀστράπτουσαν στίγμασιν.

Ὤφθητε Σαμοθράκης βλαστήματα, Ἅγιοι, καὶ ἐν τῇ Μάκρῃ τὸν δρόμον τοῦ μαρτυρίου γενναίως ἠνύσατε, Μιχαῆλε, Μανουήλ, Θεόδωρε καὶ Γεώργιοι.

Ὄλβιος ἐναντίον Κυρίου ὁ θάνατος ὑμῶν, γενναῖοι ὁπλῖται, ὡς θανατωθέντων διὰ τὴν πάντων εὐζωΐαν καὶ θανάτῳ ζωὴν ἐκληρώσασθε.

Θεοτοκίον.

Φέρουσα[4] ἐν ἀγκάλαις τῆς δόξης τὸν Κύριον χερουβικῶς ὥσπερ θρόνος ἀνεδείχθης μόνη, εὐλογημένη· ὅθεν πάντες εὐλογοῦσί σε νόες καὶ ἄνθρωποι.

Καταβασία. Κατῆλθες.

Κοντάκιον. Ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ χαρμοσύνως ἀνευφημήσωμεν πιστῶν αἱ χορεῖαι, ὅτι αὐτοὶ ἐκήρυξαν λαμπρᾷ τῇ φωνῇ Χριστὸν τὸν Θεὸν ἡμῶν ὠμοτάτοις βαρβάροις, Μανουήλ, Θεόδωρος, Μιχαῆλος σὺν δύο τοῖς Γεωργίοις, οὓς χρεωστικῶς ἀνευφημοῦντες τιμῶμεν ἐν ᾄσμασιν.

Ὁ οἶκος.

Φώτισόν μου τὰς φρένας, Χριστέ μου· τοὺς γὰρ θείους ὁπλίτας σου εὐφημῆσαι ποθῶ, τοὺς πενταρίθμους μάρτυρας, καὶ δίδου μοι λόγον ἐν ἀνοίξει τοῦ στόματός μου εἰς τὸ ὑμνῆσαι αὐτοὺς εὐκλεῶς, ὡς στεφανηφόρους ἀθλητὰς καὶ τῶν παθῶν μιμητὰς καὶ τῶν σῶν δούλων ἀκλινεῖς πρεσβευτάς· οὗτοι γὰρ ἀεὶ τῷ θείῳ σου θρόνῳ παριστάμενοι ἐξαιτοῦνται εἰρήνην τῷ κόσμῳ δωρήσασθαι, οὓς χρεωστικῶς ἀνευφημοῦντες τιμῶμεν ἐν ᾄσμασιν.

Τῷ αὐτῷ μηνὶ στ΄. Μνήμη τῶν Ἁγίων ἐνδόξων πέντε μαρτύρων τῶν ἐν Μάκρῃ τῆς Θρᾴκης μαρτυρησάντων, [Μιχαήλ, Γεωργίου, Μανουήλ, Θεοδώρου καὶ Γεωργίου, ἐν ἔτει 1836].

Στίχ. Χορὸν τὸν πεντάριθμον νέων μαρτύρων,
Σαμοθράκη, γέραιρε νῦν ἐπαξίως,
Ἕκτη, γενναίοις γ᾽ ἐφάνη βιότοιο τελευτή.

Ταῖς τῶν Ἁγίων πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Ῥύσει[1] τοῦ θείου εὐαγγελίου, μάρτυρες, εὐκλεῶς, ὄντως ὑποκλίναντες ὑμῶν τὰς ψυχὰς ἑαυτοὺς παραδεδώκατε πολλαῖς βασάνοις καὶ ἡμῶν πρεσβευταὶ χρηματίζετε.

Ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νέφεσιν ὡς Θεὸς θείαν περιέζωσε δύναμιν καὶ ὑμᾶς ὑπομεῖναι τὰ ἐπίπονα τοῦ μαρτυρίου μέχρι τελευτῆς πανεύφημοι μάρτυρες.

Τομὴν[2] τῆς πλάνης τοῖς ἱεροῖς ἐστήσατε, ἀθλη-

προφρόνως Ἰάκωβος» κάθε τροπάριον θὰ ἤρχιζε κατὰ σειρὰν ἀπὸ τὰ ἀρχικὰ γράμματα τῶν λέξεων Μάρτυρας κλ. (σελ. 347) μετὰ τὸ «Ἠράσθησαν...» καὶ πρὸ τοῦ «Ὄρος...» ἔδει νὰ ὑπάρχῃ τροπάριον ἀρχίζον ἀπὸ Σ. Ὁμοίως μετὰ τὸ «Πλάτυνον...» παρελείφθησαν τὰ ἀρχίζοντα ἀπὸ ΡΟ καὶ προσετέθησαν τέσσαρα ἄλλα. Ὁμοίως εἰς σελ. 350 προσετέθη τὸ «Οὐ θλίψης ἡμᾶς» (Σ.Θ.).
1. στεῤῥοί.
2. κεκτημένοι.
3. τῆς. [τοῖς]
4. φέρουσιν.

1. Ῥῆσαι [Ρύσται].
2. νομήν, πρβλ. τοὺς τεμόντες τὰς ἐπινοίας τῶν παρανόμων.

www.tezaurliturgic.ro



ταί, ῥείθροις τῶν αἱμάτων τῶν ὑπὲρ Χριστοῦ ἐκχυθέντων ὑμῶν, ἔνδοξοι, ὅθεν νομίμως στέφος χειρὸς αὐτοῦ ἐνεδύσασθε.

Θεοτοκίον.

**Ὡ**ς ἐπὶ πόκον, ὄντως κόρη, ἔσταξεν ἐν τῇ σῇ μήτρᾳ[1] οὐρανόθεν, ἄχραντε τοῦ παντός, ὁ δεσπόζων καὶ ἐδρόσισε[2], τοὺς ἐκτακέντας πάλαι τῷ φλογμῷ ἀπάτῃ τοῦ ὄφεως.

Καταβασία. Οἱ παῖδες ἐκ καμίνου.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

**Σ**ύνεσιν κτησάμενοι, σοφοί, πᾶσαν δυσέβειαν Ἀγαρηνῶν δυσμενῶν ἀποσεισάμενοι, ἔνδοξοι, ἀσυνέτως ἀπονεμόντων[3] διεθερμάνθητε πυρὶ τοῦ θείου πνεύματος καὶ τὴν πλάνην ἐν παρρησίᾳ πολλῇ διηλέγξατε.

**Ο**ὐ θλῖψις ὑμᾶς οὐδὲ εἱρκτή, λιμὸς ἢ στέρησις ἡδέων, πάνσοφοι, οὔτε βασάνων ἐπίτασις, οὐ ζωῆς προσκαίρου στέρησις χωρίσαι ἴσχυσε Χριστοῦ τῆς ἀγαπήσεως, ᾧ βοῶμεν: πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

**Ἰ**δεῖν ἐφιέμενοι, σοφοί, κάλλος τὸ ἄρρητον Χριστοῦ καὶ ἄφραστον, πᾶσαν ἐπίγειον τρυφήν τε καὶ πλοῦτον ῥέοντα ἐξουθενήσατε καὶ τῶν βασάνων προσβολαῖς οὐχ ἡττηθέντες νικητικοὺς στεφάνους εἰλήφατε.

Θεοτοκίον.

**Α**ἴνεσιν προσάγουσιν ἀεὶ τὰ ἐπουράνια τῶν νόων τάγματα, θεογεννῆτορ, τῷ τόκῳ σου, ὡς Θεῷ, μεθ᾿ ὧν καὶ ἄνθρωποι οἱ ἐπιγνόντες διὰ σοῦ τοῦτον κραυγάζομεν: εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Καταβασία. Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

**Κ**άλλος νοητὸν ποθοῦντες, μακάριοι, πρὸς τὰ προκείμενα σκάμματα ἐδράμετε τοῦ μαρτυρίου βοῶντες, πάνσοφοι: ἐν ὁδῷ μαρτυρίου σου περιπατήσωμεν ὡς ἐν πλούτῳ χαίροντες, φιλάνθρωπε, εἰς αἰῶνας αἰώνων δοξάζοντες.

1. μήτραν.
2. ἐδρόσιζε.
3. ἀπονέμοντας.

**Ὡ**ς ἐν ἱεροῖς ἱερῶς δοξάσαντα[1] ὕμνοις τὴν μνήμην ὑμῶν, μάρτυρες πεντάριθμοι, ὑμῶν πρεσβείαις καθικετεύσατε ἁμαρτιῶν με[2] ἄφεσιν εὑρεῖν καὶ κλέος καὶ τῆς θείας δόξης τὸν ἀνάξιον ἀξιώσει ὑμῶν ἀξιῶσαι[3].

**Β**άρος τῆς σαρκός, σοφοί, ἀπωσάμενοι διεβιβάσθητε πρὸς τὰ ὑπερκόσμια καὶ νῦν σὺν θείοις μαρτύρων τάγμασι καὶ τοῖς ἁγίοις ἅπασι φαιδρῶς παρίστασθε τῷ Κυρίῳ ῥύσιν[4] ἐξαιτούμενοι τῶν πταισμάτων τοῖς πόθῳ τιμῶσιν ὑμᾶς.

Θεοτοκίον.

**Φ**θέγματι λαμπρῷ γλώσσῃ διατόρῳ τε τρανῶς ἐκήρυξαν ὄντως Θεοτόκον σε ἐν τῷ σταδίῳ, Παρθένε ἄχραντε, μάρτυρες οἱ πεντάριθμοι καὶ τὴν ἀντίχριστον τῶν ἀνόμων πλάνην ἐστηλίτευσαν καὶ στεφάνους τῆς νίκης ἐδέξαντο.

Καταβασία. Φωτίζου, φωτίζου.

Ἐξαποστειλάριον. Ὁ οὐρανὸς τοῖς ἄστροις.

**Ἡ** παμφαὴς τῶν μαρτύρων, ἐξέλαμψε νῦν ἑορτή, φωταγωγοῦσα τοὺς[5] πίστει, ἐπιτελοῦντας τὴν αὐτῶν, πάμφωτον σήμερον μνήμην, καὶ τὸν Χριστὸν ἀνυμνοῦντας.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

**Τ**ῆς Σαμοθρᾴκης καύχημα καὶ Μάκρης ἐγκαλλώπισμα ἐδείχθητε, ἀθλοφόροι, ὡς ἀριστεύσαντες ἅμα σταυρῷ περιφραττόμενοι, ἀλλὰ νῦν παριστάμενοι τῷ θρόνῳ τοῦ παντάνακτος σὺν τοῖς χοροῖς τῶν μαρτύρων περιφρουρήσατε πάντας.

1. δοξάσαντι.
2. μοι.
3. ἀξιώσατε.
4. λύσιν.
5. τῇ.



Καὶ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Προσόμοια. Ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

**Σ**ήμερον, πιστοί, τελέσωμεν τῶν ἀθλοφόρων Χριστοῦ ἑορτὴν τὴν σεβάσμιον ἐν ᾠδαῖς καὶ ᾄσμασιν ἀνυμνοῦντες τὸν Κύριον, τὸν ἐν τῷ κόσμῳ τούτῳ δοξάσαντα, καὶ ὡς φωσφόρους λαμπτῆρας δείξαντα, φέγγος νοούμενον εὐσεβείας λάμποντας καὶ παμφανῶν θαυμάτων ἐκπέμποντας ἀκτῖνας πάντοτε.

**Κ**λέος Σαμοθρᾴκης ὤφθητε, Μάκρης, σοφοί, καλλονή, ὀρθοδόξων εὐπρέπεια, Ἐκκλησίας στήριγμα, Μανουὴλ καὶ Γεώργιοι σὺν Θεοδώρῳ καὶ Μιχαὴλ τῷ στερρῷ· ὅθεν χαίρομεν[1] τὴν ὑμῶν πανήγυριν χρεωστικῶς τὸν Χριστὸν γεραίροντες, τὸν ὑμᾶς στέψαντα.

**Τ**αῖς τῶν αἱμάτων προσχύσεσι τὴν Ἐκκλησίαν Χριστοῦ ἐστολίσατε, Ἅγιοι, καὶ ἐναπεσβέσατε ἀσεβείας τὴν κάμινον καὶ τοὺς βαρβάρους σαφῶς ᾐσχύνατε τῇ ἀηττήτῳ, σοφοί, ἐνστάσει ἡμῶν, καὶ πρὸς τὸν παράδεισον χαρμονικῶς εἰσήλθετε χαίροντες, μάρτυρες ἔνδοξοι.

**Μ**έγας εἶ, μόνε φιλάνθρωπε, τὰ ἔργα δὲ θαυμαστὰ σοῦ τὰ θεῖα καὶ ἔνδοξα, ὅτι [καὶ] ἐνίσχυσας τοὺς Ἁγίους σου μάρτυρας τὴν δυναστείαν τοῦ πολεμήτορος καταπατῆσαι ἐν τῇ ἰσχύϊ σου τῆς σεπτῆς δυνάμεως, δι᾿ ἧς, Χριστέ, πάντας περιφρούρησον τοὺς προσκυνοῦντάς σε.

1. Γεραίρομεν.

Δόξα. Ἦχος πλ. α΄.

**Τ**ὴν πάμφωτον μνήμην τῆς ὑμῶν ἀθλήσεως πιστῶς ἄγοντες ἀνυμνοῦμεν, πεντάριθμοι μάρτυρες, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ὑμᾶς ἐνισχύσαντα παραδόξως καὶ νικητὰς κατ᾿ ἐχθρῶν ἀναδείξαντα καὶ θαυμάτων χάρισι μεγαλύναντα· ὅθεν τὰ στίφη τῶν πιστῶν συνελθόντα γεραίρει τὴν ἐκ Θεοῦ ὑμῖν δοθεῖσαν χάριν καὶ ἐν πίστει βοῶσι: χαίρετε, στρατιῶται ἀήττητοι τοῦ βασιλέως τῶν δυνάμεων, οἱ τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ σκότους τῇ πίστει τροπωσάμενοι καὶ Χριστὸν τὸν φωτοδότην ἐν τοῖς οἰκείοις μέλεσι δοξάσαντες, πρὸς ὃν πρεσβείαν ποιήσατε ὑπὲρ τῆς ἐνεγκαμένης νήσου τοῦ σώζεσθαι αὐτὴν[1] ἐξ ἐπιδρομῆς βαρβάρων, λιμοῦ καὶ λοιμοῦ καὶ πάσης δεινῆς περιστάσεως, καὶ τοῖς ἐκ πόθου εὐφημοῦσιν ὑμᾶς δωρηθῆναι εἰρήνην καὶ μέγα ἔλεος.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

Εἰς τὴν λειτουργίαν τυπικά,
καὶ ἐκ τοῦ κανόνος ᾠδὴ γ΄. καὶ στ΄.

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγ. Γεωργίου.

Μεγαλυνάριον· εἰς ἦχον β΄.

**Σ**αμοθρᾴκης [νήσου] γόνους λαμπροὺς καὶ τῆς χώρας Μάκρης μέγα κλέος τε καὶ φρουροὺς καὶ τῶν ἀσθενούντων ἰατροὺς τε καὶ σώστας τοὺς πέντε μεγάθλους ἀνευφημήσωμεν.

Ἐσθλῶν ἁπάντων Χριστὸς
Ἀρχὴ καὶ Τέλος.

1. αὐτῶν.
2. [μεγαλάθλους).

www.tezaurliturgic.ro

## ΕΠΙΓΡΑΜΜΑ ΕΞΑΣΤΙΧΟΝ

(Ἐν τῷ τέλει τῆς Ἀκολουθίας τοῦ Χειρογράφου τῆς Μάκρης)

Ἐν ἔτει τασσαρακοστῷ τρίτῳ ὀκτακοσίων,
Ἅμα χιλίων τῆς σεπτῆς Χριστοῦ θεογονίας,
Ἐγράφη συνετέθη τε αὔτ' ἡ ἀκολουθία,
Προτροπὴ(ῇ) μὲν Τραϊανουπόλεως Ἀνθίμου ἐπισκόπου,
Πόνῳ δὲ καὶ πολλῇ σπουδῇ μοναχοῦ Ἰακώβου.
Ὑπὲρ ὧν ὑπερεύχεσθε οἱ ταύτης(η) ἐντυχόντες.

---

## ΤΟ ΣΥΝΑΞΑΡΙΟΝ ΤΩΝ ΑΓΙΩΝ

(Ἐν τῷ Ὄρθρῳ τῆς Ἀκολουθίας τοῦ Χειρογράφου τῆς Χώρας Σαμοθράκης)

Τῇ ΣΤ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν πέντε ἐκ Σαμοθράκης τῆς νήσου Ἁγίων Μαρτύρων, τῶν ἀθλησάντων ἐν Μάκρῃ τῆς Θράκης· Μιχαήλ, Γεωργίου, Μανουήλ, Θεοδώρου καὶ Γεωργίου, ἐν ἔτει 1836.

Χορὸν τὸν πεντάριθμον νέων μαρτύρων,
Σαμοθράκη γέραιρε νῦν ἐπαξίως.
Ἕκτῃ γενναίοις γ' ἐφάνη βιότιο τελευτή.
Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. Ἀμήν.

**Η Β' ΑΚΟΛΟΥΘΙΑ**

ΤΩΝ ΑΓΙΩΝ ΕΝΔΟΞΩΝ

# ΠΕΝΤΕ ΝΕΟΜΑΡΤΥΡΩΝ

ΤΩΝ ΕΚ ΣΑΜΟΘΡΑΚΗΣ ΚΑΙ ΕΝ ΜΑΚΡῌ
ΑΘΛΗΣΑΝΤΩΝ

ΕΠΟΙΗΘΗ ΕΝ ΑΓΙῼ ΟΡΕΙ

ὑπὸ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας

ΕΝ ΑΘΗΝΑΙΣ
1970

www.tezaurliturgic.ro

ΒΑΣΙΛΕΙΟΝ ΤΗΣ ΕΛΛΑΔΟΣ

**Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ**

ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΡΙΘΜ. ΠΡΩΤ. 2708
ΔΙΕΚΠ. 1652

Ἀθῆναι τῇ 5ῃ Ἰουλίου 1969

Πρὸς
Τὸν Σεβασμιώτατον Μητροπολίτην
Ἀλεξανδρουπόλεως κ. Κωνστάντιον

Σεβασμιώτατε ἐν Χριστῷ ἀδελφέ,

Εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. 111/23-5-1969 ὑμετέρου ἐγγράφου, δι' οὗ ὑποβάλλετε πρὸς ἔγκρισιν τὴν ποιηθεῖσαν ὑπὸ τοῦ ἐν Ἁγίῳ Ὄρει Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας, Ἱερὰν Ἀκολουθίαν τῶν Ἁγίων ἐνδόξων πέντε Νεομαρτύρων τῶν ἐκ Σαμοθράκης, καὶ ἐν Μάκρῃ ἀθλησάντων, Συνοδικῇ ἀποφάσει γνωρίζομεν ὑμῖν, ὅτι ἡ Ἱερὰ Σύνοδος, λαβοῦσα ὑπ' ὄψιν σχετικὴν εἰσήγησιν τοῦ Σεβ. Μητροπολίτου Σερβίων καὶ Κοζάνης κ. Διονυσίου, Προέδρου τῆς Μονίμου Συνοδικῆς Ἐπιτροπῆς ἐπὶ τῆς Θείας Λατρείας, ἐνέκρινε τὴν Ἱερὰν ταύτην Ἀκολουθίαν, ὡς καλῶς ἔχουσαν, καθ' ὅσον οὐδὲν τὸ ἀπᾷδον πρός τε τὰ δόγματα καὶ τὰς παραδόσεις τῆς καθ' ἡμᾶς ἁγιωτάτης Ὀρθοδόξου Ἐκκλησίας περιέχεται ἐν αὐτῇ ὑπὸ τὴν προϋπόθεσιν, ὅτι θὰ ἐπενεχθῶσιν ἐν τῷ κειμένῳ αὐτῆς αἱ ἐν τῷ συνημμένῳ φωτοστατικῷ ἀντιγράφῳ τῆς ὡς εἴρηται Ἱερᾶς Ἀκολουθίας σημειούμεναι μικραὶ διορθώσεις.

Ἐπὶ τούτοις κατασπαζόμενοι τὴν ὑμετέραν Σεβασμιότητα ἐν Κυρίῳ, διατελοῦμεν μετ' ἀγάπης,

† Ὁ Ἀθηνῶν ΙΕΡΩΝΥΜΟΣ, Πρόεδρος

## Ἀπριλίου στ'.

**Μνήμη τῶν Ἁγίων ἐνδόξων καὶ καλλινίκων πέντε τοῦ Χριστοῦ Νεομαρτύρων Μανουήλ, Θεοδώρου, Γεωργίου, Μιχαὴλ καὶ ἑτέρου Γεωργίου τῶν ἐκ Σαμοθράκης, καὶ ἐν Μάκρῃ τῆς Θράκης ἀθλησάντων ἐν ἔτει 1836.**

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ'
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Πανεύφημοι Μάρτυρες.

**Π**εντάριθμοι Μάρτυρες Χριστοῦ, οἱ ἐσχάτοις ἔτεσι, περιφανῶς ἐναθλήσαντες, ψυχῆς στερρότητι, καὶ μιᾷ καρδίᾳ, Μανουὴλ Θεόδωρε, καὶ ἄμφω ἀθλοφόροι Γεώργιοι, σὺν Μιχαὴλ ὁμοῦ, τοῖς λαμπροῖς ὑμῶν παλαίσμασιν, εὐσεβείας, τὴν ἰσχὺν ἐδείξατε.

**Π**ανεύφημοι Μάρτυρες νυκτί, εἰ καὶ συνεσχέθητε, τῆς δυσσεβείας τὸ πρότερον, φθόνῳ τοῦ ὄφεως, ἀλλ' ἐπανελθόντες, γνώμῃ οὐρανόφρονι, Χριστὸν ἀθλητικῶς ἐδοξάσατε, οἰκείοις μέλεσι, καὶ τῶν πάλαι ἰσοστάσιοι, Ἀθλοφόρων, ὤφθητε μακάριοι.

**Τ**μηθεὶς μεληδὸν ὦ Μιχαήλ, τὴν τῆς πλάνης ἔνστασιν, τῇ καρτερίᾳ σου ἔτεμες, δυνάμει κρείττονι, καὶ τὸν δι' ἀγχόνης, θάνατον ἐνέγκαντες, Γεώργιε ὁμοῦ καὶ Θεόδωρε, ἐχθρὸν ἐπνίξατε, Μανουὴλ δὲ καὶ Γεώργιος, τοῖς ὀγκίνοις, τὸν ὄφιν ἐτρώσατε.

**Χ**ορεύει χαρὰν πνευματικήν, Σαμοθράκη Ἅγιοι, ὑμῶν ὁρῶσα τὴν ἄθλησιν, καὶ ἐπαγάλλεται, τοῖς ὑμῶν σπαργάνοις, πλέον δὲ ἀβρύνεται, ἡ Μάκρη δεξαμένη τὰ αἵματα, ὑμῶν πολύαθλοι. Ἀλλ' ἀπαύστως διασώζετε, ἀμφοτέρας, ταῖς ὑμῶν δεήσεσι.

Δόξα. Ἦχος δ'.

**Ἀ**θλητικὴν ἀνδρείαν ἀναλαβόντες, στερρῶς ἀντικατέστητε, τῇ τῶν διωκτῶν μανίᾳ, ἀπειλαῖς καὶ θωπείαις ἐπελθόντων ὑμῖν· καὶ ἀνδρειοφρόνως ἀγωνισάμενοι, πάντας ἐξεπλήξατε, τῇ ἀνενδότῳ ὑμῶν ἐνστάσει, καὶ τῇ τῆς ψυχῆς καρτερότητι, Νεομάρτυρες ἔνδοξοι· ἐν ὑμῖν γὰρ δεδόξασται Χριστός, ὁ ἐνισχύσας καὶ δοξάσας ὑμᾶς, καὶ παρέχων δι' ὑμῶν, ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

**Ἤ**θλησαν καρτερῶς, τῇ σῇ δυνάμει Σῶτερ, οἱ πέντε Ἀθληταί σου, καὶ ᾔσχυναν τὸν ὄφιν, ἐν τοῖς ἐσχάτοις ἔτεσι.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Ἄ**νθη νεοθαλῆ, ἐκ νήσου Σαμοθράκης, ὤφθητε

www.tezaurliturgic.ro



Ἀθλοφόροι, καὶ ἄθλων εὐωδίαν, τῷ κόσμῳ διεπνεύσατε.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

**Ἔ**φριξαν τὴν ὑμῶν, ἰδόντες καρτερίαν, οἱ κάτοικοι τῆς Μάκρης· ἀνδρείως γὰρ ἐν ταύτῃ, ἠθλήσατε μακάριοι.

Δόξα. Τριαδικόν.

**Ἕ**να σε τοῦ παντός, Θεὸν καὶ Βασιλέα, Τριὰς ὑπεραγία, οἱ πέντε Ἀθλοφόροι, κηρύξαντες ἐδόξασαν.

Καὶ νῦν. Θεοτοκίον.

**Σ**τόματι ἱερῷ, οἱ πέντε Ἀθλοφόροι, τὸν σὸν Υἱὸν Παρθένε, ἐκήρυξαν ἀρτίως, Θεὸν ὁμοῦ καὶ ἄνθρωπον.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

## ΕΝ ΤΩ͂Ι ΜΕΓΑΛΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στʹ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσι.

**Τ**ὸ πεντάριθμον σύστημα, τῶν Μαρτύρων τιμήσωμεν, τοῦ Χριστοῦ τὰ σφάγια τὰ νεόθυτα, σὺν Μανουὴλ τὸν Γεώργιον, καὶ ἄλλον Γεώργιον, καὶ Θεόδωρον ὁμοῦ, Μιχαὴλ τὸν θεόφρονα, τοὺς ἀθλήσαντας, ἐν ἐσχάτοις καιροῖς ἀνδρειοφρόνως, καὶ τῶν πάλαι Ἀθλοφόρων, τὴν καρτερίαν ζηλώσαντας.

**Ὡ**ς ἀχθέντες αἰχμάλωτοι, ἐν ἀώρῳ τοῦ σώματος, ἡλικίᾳ Ἅγιοι τὴν καχέσπερον, πλάνην βιαίως ἐδέξασθε, ἀλλὰ τῷ τῆς χάριτος, λαμπρυνθέντες φωτισμῷ, τὴν ἀπάτην ἀπώσασθε, γνώμῃ κρείττονι, καὶ Μαρτύρων ἀνύσαντες τὸ σκάμμα, Νεομάρτυρες Κυρίου, περιφανῶς ἀνεδείχθητε.

**Μ**ιχαὴλ ὁ θαυμάσιος, μεληδὸν κατατέμνηται, δι᾽ ἀγχόνης θάνατον δὲ ὑπέστησαν, σὺν Γεωργίῳ Θεόδωρος, ὀγκίνοις δὲ βέβληνται, Μανουὴλ ὁ θαυμαστός, καὶ ὁ ἄλλος Γεώργιος, καρτερώτατα, καὶ μιᾷ ἀριστεύσαντες καρδίᾳ, ἰσοτίμως ἐν τῇ δόξῃ, τῇ οὐρανίῳ ἐστέφθησαν.

**Σ**αμοθράκης ἀγλάϊσμα, καὶ τῆς Μάκρης ὡράϊσμα, ἀληθῶς ἐδείχθητε Νεομάρτυρες, τῆς μὲν ὡς γόνοι ὑπάρχοντες, τὴν δὲ ὡς τοῖς αἵμασιν, ἁγιάσαντες ὑμῶν· διὰ τοῦτο ἀμφότεραι ἑορτάζουσαι, τὴν λαμπρὰν καὶ ἁγίαν ὑμῶν μνήμην, ὑμᾶς πρέσβεις καὶ μεσίτας, πρὸς τὸν Σωτῆρα προβάλλονται.

**Ὡ**ς λυχνία πεντάφωτος, Ἀθλοφόροι πεντάριθμοι, ἄρτι ἐναθλήσαντες κόσμῳ ὤφθητε, φωτὶ ὑμῶν τῆς ἀθλήσεως, πιστῶν τὴν διάνοιαν, καταλάμποντες ἀεί, Μανουὴλ καὶ Θεόδωρε, καὶ Γεώργιε, Μιχαὴλ σὺν ἑτέρῳ Γεωργίῳ· διὰ τοῦτο τὴν ἁγίαν, ὑμῶν γεραίρομεν ἄθλησιν.

**Ἀ**νενδότῳ φρονήματι, καὶ μιᾷ γνώμῃ Ἅγιοι, Ἀθλητῶν τὸ στάδιον διανύσαντες, τῆς Ἐκκλησίας θεμέλιοι, καὶ πρόβολοι ὤφθητε, ἐν ὑστέροις τοῖς καιροῖς, Σαμοθράκης καὶ Μάκρης δέ, καλλωπίσματα, Μιχαὴλ καὶ Θεόδωρε θεόφρον, σὺν τοῖς ἄμφω Γεωργίοις, καὶ Μανουὴλ παναοίδιμε.

Δόξα. Ἦχος πλ. βʹ.

**Σ**ήμερον ὡς ἔαρ νοητόν, ἡ τῶν πενταρίθμων Νεομαρτύρων, μνήμη ἀνέτειλε, τοὺς εὐσεβεῖς εὐφραίνουσα· ὡς γὰρ ἄνθη μυστικά, τούτους προβάλλεται, τὴν εὐωδίαν τῆς χάριτος πνέοντα, τοῖς πιστῶς βοῶσι· χαίρετε οἱ μιᾷ καρδίᾳ, καὶ στεῤῥοτάτῃ ψυχῇ τὸν τῆς ἀθλήσεως ἀγῶνα, νομίμως ἀθλήσαντες· χαίρετε τῶν πάλαι Μαρτύρων, ζηλωταὶ καὶ ὁμότροποι, καὶ τῶν στεφάνων ἰσότιμοι· χαίρετε Σαμοθράκης δόξα, Μάκρης ἔφοροι, καὶ τῆς Ἐκκλησίας ἀστέρες νεόφωτοι. Τῷ ἀθλοθέτῃ Χριστῷ πρεσβεύσατε, Ἅγιοι Μάρτυρες, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ Δογματικόν.

**Τ**ίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; Ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως

www.tezaurliturgic.ro



σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. (Κεφ. μγ' 9).

Τάδε λέγει Κύριος: Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμί ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίους αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε' 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ριφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς, καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἰδιόμελα. Ἦχος α'.

Ἀγάλλονται ἐνθέως, ἐπὶ τῇ δόξῃ ὑμῶν, Σαμοθράκη ἡ βλαστήσασα ὑμᾶς, καὶ ἡ τὴν ἄθλησιν ὑμῶν ἰδοῦσα Μάκρη, Νεομάρτυρες πεντάριθμοι· κοινὴ γὰρ εὐφροσύνη ὤφθητε, καλῶς ἀγωνισάμενοι, ὑπὲρ τῆς πατρῴας πίστεως· διὸ καὶ πᾶσα ἡ Ἐκκλησία, λαμπρυνομένη ὑμῶν τοῖς ἄθλοις, ᾀσματικῶς ὑμᾶς γεραίρει. Ἀλλ' ὦ Μανουὴλ καὶ Μιχαήλ, καὶ σὺν τοῖς δυσὶ Γεωργίοις Θεόδωρε, αἰτεῖτε ἀπαύστως, διδόναι ἡμῖν εἰρήνην καὶ μέγα ἔλεος.

Ἦχος β'.

Μαρτυρικὴν συστησάμενοι χορείαν, ὁμοφρόνως ἐχωρήσατε, πρὸς τὸ τῆς ἀθλήσεως μέγα σκάμμα, νεοφανεῖς Χριστοῦ ὁπλῖται· καὶ ὑπεράνω σαρκὸς καὶ αἵματος, ἐν τῇ ἀπεκδύσει τῆς φθορᾶς, ἀληθῶς ἐδείχθητε· ὅθεν βασάνων σκληροτάτων, ἀπειλὰς οὐκ ἐπτήξατε, ἀλλὰ πάντας κατεπλήξατε, ἐν τῇ θαυμαστῇ ὑμῶν καρτερίᾳ· καὶ Χριστὸν ὁμολογήσαντες, κοινωνοὶ τοῦ πάθους αὐτοῦ ὤφθητε, καὶ τῆς δόξης συμμέτοχοι, ἀπαύστως πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ'.

Θείῳ πόθῳ πτερούμενοι, τὴν καλὴν ὁμολογίαν, πεπαρρησιασμένῃ φωνῇ ὡμολογήσατε Ἅγιοι· καὶ τυραννικὴν μανίαν φαυλίσαντες, τὸν ἀρχαῖον πτερνιστήν, ἀθλητικοῖς ὑμῶν πόνοις ᾐσχύνατε· ὡς γὰρ ἄσαρκοι ἠνέγκατε, τιμωριῶν τὰ ἄλγη, καὶ τὸν βίαιον θάνατον, οὐρανίῳ φρονήματι· ὅθεν ἀθανάτου δόξης τυχόντες, τῶν πάλαι Μαρτύρων, ἰσοστάσιοι ὤφθητε. Ἀλλ' ὦ Μανουὴλ καὶ Θεόδωρε, Γεώργιε καὶ Μιχαήλ, σὺν Γεωργίῳ τῷ νεωτέρῳ, νεοσφαγεῖς ἄρνες Χριστοῦ, καὶ προσφοραὶ ὁλόκληροι, μὴ διαλίπητε δυσωποῦντες, ὡς ἂν εὕρωμεν ἔλεος, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος δ'.

Ἐνδεδυμένοι τὰ ὅπλα τοῦ φωτός, τὸν τοῦ σκότους ἄρχοντα καθείλετε, ἀθλητικαῖς ἀριστείαις, Νεομάρτυρες μακάριοι· νομίμως γὰρ ἀθλοῦντες, τοῖς διώκταις ἐβοᾶτε, ἀπτοήτῳ γνώμῃ· Οὐδὲν ἡμᾶς χωρίσει, τῆς ἀγάπης Χριστοῦ· ἐθελουσίως γὰρ αἱρούμεθα θανεῖν, ἵνα σὺν αὐτῷ ζήσωμεν καὶ τομαῖς καὶ καταπέλταις δοκιμασθέντες, τῆς ἐφέσεως ἐτύχετε, μαρτυρικῆς εὐκλείας ἐπιβάντες· καὶ νῦν μὴν παύσησθε πρεσβεύειν, ὑπὲρ τῶν πίστει τιμώντων, ὑμῶν τὰ παλαίσματα.

Δόξα. Ὁ αὐτός.

Τοὺς πενταρίθμους Νεομάρτυρας, τοὺς ἐν τοῖς ἐσχάτοις χρόνοις ἀθλήσαντας, καὶ τὸν ὄφιν καθελόντας, μαρτυρικοῖς ἐγκωμίοις, ὁμοφώνως τιμήσωμεν· τῇ τοῦ Χριστοῦ γὰρ ἀγαπήσει, ἑαυτοὺς ἠρνήσαντο· καὶ ποικίλαις βασάνοις ἐκδόντες τὸ σῶμα, μέγα τρόπαιον ἤγειραν, κατὰ τῶν ἀντιπάλων, τῶν πάλαι Μαρτύρων, τὴν ἀρετὴν μιμησάμενοι. Αὐτοῖς οὖν βοήσωμεν· Ἀθληταὶ Χριστοῦ γενναιότατοι, τῶν εὐσεβῶν κλέος καὶ στήριγμα, Μανουὴλ καὶ Θεόδωρε, Γεώργιε καὶ Μιχαήλ, καὶ ἄλλε Γεώργιε, ἄφεσιν πταισμάτων αἰτήσασθε ἡμῖν, καὶ παθῶν ἀπολύτρωσιν.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων...

www.tezaurliturgic.ro



Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

**Χ**αίροις Νεομαρτύρων πεντάς, τῆς Σαμοθράκης οἱ βλαστοὶ οἱ περίδοξοι, τῆς Μάκρης οἱ πολιοῦχοι, καὶ πρεσβευταὶ πρὸς Χριστόν· Ὀρθοδόξων δόξα καὶ κραταίωμα· ὁπλῖται ἀήττητοι, τῆς Χριστοῦ παρατάξεως, εὔοσμα ἄνθη, τὰ ἀρτίως ἀνθήσαντα, δι' ἀθλήσεως, καὶ πιστοὺς κατευφραίνοντα· ὄμβροι οἱ νεοστάλακτοι, ψυχὰς οἱ δροσίσαντες, τὰς φλεγομένας δουλείας, χαλεπωτάτης τοῖς ἄνθραξι· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

**Χ**αίροις Νεομαρτύρων πεντάς· οἱ καθελόντες τῆς ἀπάτης τὸ φρύαγμα, ἀγῶσι τοῦ μαρτυρίου, καὶ στερροτάτῃ ψυχῇ, οἷα τετρωμένοι θείῳ ἔρωτι, Θεόδωρε ἔνδοξε, Μιχαὴλ καὶ Γεώργιε, σὺν ὁμωνύμῳ, Γεωργίῳ τῷ μάκαρι, Μανουὴλ σοφέ, Ἀθληταὶ γενναιότατοι· ὅθεν κατατεμνόμενοι, βασάνων τοῖς ἄλγεσι, καὶ καταπέλταις ὀξέσι, μιᾷ καρδίᾳ ἠθλήσατε· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ...

**Χ**αίροις Νεομαρτύρων πεντάς· ἅγιος δῆμος καὶ θεόπλοκον σύστημα· οἱ πίστει συνδεδεμένοι, ἐν τῇ ἀγάπῃ Χριστοῦ, καὶ ὁμοφροσύνῃ ἀριστεύσαντες· τὰ εὔκαρπα κλήματα, τὰ τὸν βότρυν βλαστήσαντα, τῆς ἀφθαρσίας, μαρτυρίου παλαίσμασι, δι' ὧν ἅπαντας, τοὺς ἐχθροὺς κατῃσχύνατε δόξης τῆς ἄνω μέτοχοι, Θεόδωρε ἔνδοξε, σὺν Μιχαὴλ Γεωργίῳ, καὶ Μανουὴλ καὶ Γεώργιε, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. δ'.

**Τ**ὸ τῆς ἀθλήσεως στάδιον, ἀνδρειοτάτῃ ψυχῇ ὑπελθόντες, περιφανῶς ἐδοξάσθητε, νεοφανεῖς Ἅγιοι Μάρτυρες· τῆς φθειρομένης γὰρ σαρκός, ὑπεριδόντες τοὺς πόνους, ὥσπερ ἄλλου πάσχοντος διέκεισθε, ἐν τῇ τῶ δεινῶν ἐπαγωγῇ· καὶ τῆς ἀπάτης τὴν ἰσχὺν θριαμβεύσαντες, μαρτυρικῶν βραβείων, ἐπαξίως ἐτύχετε, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Τῆς Ἑορτῆς, ἢ τὸ Θετοκίον.

**Δ**έσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

**Σ**αμοθράκης λαμπτῆρες καὶ τῆς Μάκρης, ἀγλάϊσμα, Νεομάρτυρες θεῖοι ἀληθῶς ἀνεδείχθητε, ἀθλήσαντες στερρῶς ὑπὲρ Χριστοῦ, καὶ λύσαντες τὴν πλάνην τοῦ ἐχθροῦ, Μανουὴλ σὺν Θεοδώρῳ καὶ Μιχαήλ, καὶ οἱ διττοὶ Γεώργιοι. Δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι' ὑμῶν, ἡμῖν χάριν καὶ ἔλεος.

Τὸ τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου...

Ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' Στιχολογίαν, Κάθισμα.

Ἦχος α'. Τὸν τάφον σου.

**Π**εντάριθμος χορός, τῶν Μαρτύρων ὑμνείσθω, ἀθλήσας καρτερῶς, δι' ἀγάπην Κυρίου, Θεόδωρος Γεώργιος, καὶ ὁ ἄλλος Γεώργιος, Μιχαὴλ ὁμοῦ, καὶ Μανουὴλ ὁ γενναῖος, τὰ νεόφυτα, καὶ εὐθαλέστατα κρίνα, τῆς θείας ἀθλήσεως.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

**Κ**υήσασα σαρκί, τὸν Θεὸν ἀνεκφράστως, ἐκαίνισας ἡμῶν, τὴν φθαρεῖσαν οὐσίαν, καὶ ἅπαντας ἀνύψωσας, πρὸς τὴν πρώτην εὐγένειαν, Ἀπειρόγαμε, Εὐλογημένη Μαρία· ὅθεν ᾄδομεν, χαριστηρίους σοι ὕμνους, αἰνοῦντες τὴν δόξαν σου.

Μετὰ τὴν β' Στιχολογίαν, Κάθισμα.

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

**Κ**ατεπλάγησαν ὑμῶν, τὴν καρτερίαν τὴν πολλήν, εὐσεβούντων οἱ χοροί, καὶ τῶν ἀπίστων ἡ πληθύς, οἱ θεωροῦντες ὑμᾶς ἐν ταῖς βασάνοις· ὅτι ἀνδρικῶς ὑπεμείνατε, ἄλογον θυμὸν καὶ ξίφη τέμνοντα, Μεγαλομάρτυρες ὕμνον προσάγοντες, τῷ ὑμῖν δύναμιν νείμαντι· ὃν δυσωπεῖτε, ὑπὲρ τῶν πίστει, ὑμῶν τιμώντων τὴν ἄθλησιν.

Τῆς Ἑορτῆς, ἢ τὸ παρὸν Θεοτοκίον.

**Ἀ**πορρήτως ἐν γαστρί, τὸν προαιώνιον Θεόν, συλλαβοῦσα ἀληθῶς, Θεοχαρίτωτε Ἁγνή, καὶ ἐν ἀγκάλαις σου τοῦτον βαστάσασα, ὤφθης παμφαὴς θρόνος καὶ ἔμψυχος, ἄλλος οὐρανὸς εὐρυχωρότατος, πρὸς οὐρανοὺς ἀνάγουσα Δέσποινα, τῇ μητρικῇ παρρησίᾳ σου, τοὺς σὲ Μητέρα, τοῦ πάντων Κτίστου, καὶ Θεοτόκον κηρύττοντας.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

**Σ**αμοθράκη καὶ Μάκρη πανηγυρίζουσι, τὴν σεπτὴν ὑμῶν μνήμην Ἅγιοι Μάρτυρες· ἀμφοτέρων γὰρ θερμοὶ προστάται ὤφθητε, σὺν Γεωργίοις τοῖς δυσί, Θεόδωρε καὶ Μανουήλ, καὶ Μιχαὴλ γενναιόφρον, αἷς τὴν εἰρήνην αἰτεῖσθε, παρὰ Θεοῦ καὶ θεῖον ἔλεος.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

**Ἐ**ξ ἁγνῶν σου αἱμάτων ἡμῖν ἐπέφανε, σαρκωθεὶς ἀπορρήτως εἰς σωτηρίαν ἡμῶν, ὁ τῶν ὅλων Ποιητὴς Θεοχαρίτωτε· ὃν ἱκέτευε ἀεί, ἱλασμὸν ἁμαρτιῶν, διδόναι δι' εὐσπλαγχνίαν, τοῖς ἀνυμνοῦσι Παρθένε, τοῦ μυστηρίου σου τὸ μέγεθος.

Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου
καὶ τὸ Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον τὸ τοῦ Ἁγ. Γεωργίου.

Δόξα. Ταῖς τῶν Ἀθλοφόρων...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

**Ἀ**θλητικῇ ἐνστάσει κοσμούμενοι, κολαστηρίων

www.tezaurliturgic.ro



παντοίων κατετολμήσατε, ἀκαταπλήκτῳ νοΐ, πεντάριθμοι Μάρτυρες· θεῖος γὰρ ἔρως στομώσας ὑμᾶς, τυραννικὴν ὠμότητα, ὑπεριδεῖν ἐποίησε, καὶ νικηφόρως ἀνύσαι, τὸ τῆς ἀθλήσεως σκάμμα. Ἀλλ' ὡς ἔχοντες παρρησίαν, πρὸς τὸν φιλάνθρωπον Χριστόν, ἀδιαλείπτως πρεσβεύετε, ὑπὲρ ἡμῶν δεόμεθα.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, ἢ τοῦ Πάσχα, ἢ τῆς τυχούσης Ἑορτῆς καὶ ὁ κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·

«Νέοις Μάρτυσιν ἔνθεον ᾆσμα. Γερασίμου».

Ὠδὴ α'. Ἦχος α'. Ἀναστάσεως ἡμέρα.

**Ν**έοι ὤφθητε ὁπλῖται, καὶ στερροὶ Ἀθληταί, δόξης τῆς τοῦ Σωτῆρος, ἀθλήσαντες καρτερικῶς, Νεομάρτυρες κλεινοί· διὸ ἐν ᾠδαῖς, συμφώνως γεραίρομεν, τὴν λαμπρὰν ὑμῶν ἄθλησιν.

**Ἐ**κ τῆς νήσου Σαμοθράκης, ὡς ἀστέρες λαμπροί, λάμψαντες Ἀθλοφόροι, ἠθλήσατε μαρτυρικῶς, ἐν Μάκρῃ ῥώμῃ θεϊκῇ, καὶ φῶς νοητόν, ἀγάπης τῆς κρείττονος, τοῖς ἐν κόσμῳ πυρσεύετε.

**Ο**ἱ γενναῖοι Ἀθλοφόροι, Μανουὴλ ὁ σεπτός, ἅμα σὺν Γεργίοις, καὶ Θεοδώρῳ Μιχαήλ, οἱ ἀθλήσαντες καλῶς, μιᾷ ἐν σπουδῇ, συμφώνως ὑμνείσθωσαν, ὡς Χριστοῦ Νεομάρτυρες.

Θεοτοκίον.

**Ἰ**σχυράν σε προστασίαν, οἱ στερροὶ Ἀθληταί, ἔχοντες ἐν ἀγῶσι, κατηγωνίσαντο Ἁγνή, τὸν ἀρχέκακον ἐχθρόν, τὴν σὴν ἀρωγήν, ὑμνοῦντες Πανύμνητε, καὶ τὴν ἄρρητον δόξαν σου.

Ὠδὴ γ'. Δεῦτε πόμα πίωμεν.

**Σ**ύμψυχοι τελοῦντες ἐν παντί, ὁμοφρόνως εἰσήλθετε πρὸς τὸ στάδιον, τοῦ μαρτυρίου σοφοί, καὶ εἵλετε ἅμα τὸν ἐχθρόν, στερροὶ Νεομάρτυρες.

**Μ**άκρη τοῖς παλαίσμασιν ὑμῶν, καλλωπίζεται Ἅγιοι Νεομάρτυρες, πλέον δὲ ταύτης σκιρτᾷ, νῆσος Σαμοθράκη ἐν Χριστῷ, ὑμᾶς ἡ γεννήσασα.

**Ἄ**θλησιν τῶν πάλαι Ἀθλητῶν, μιμησάμενοι Ἅγιοι Νεομάρτυρες, τῆς κατ' αὐτοὺς ὑπὲρ νοῦν, δόξης καὶ χαρᾶς ἐν οὐρανοῖς, ἀξίως ἐτύχετε.

Θεοτοκίον.

**Ρ**ήμασιν ἑπόμενοι τοῖς σοῖς, μακαρίζομεν πάντες σε παμμακάριστε, οἷα Μητέρα Θεοῦ, καὶ χαῖρε βοῶμέν σοι ἀεί, ἡμῶν ἡ βοήθεια.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

**Χ**ορεία πεντάριθμε, τῶν Ἀθλητῶν τοῦ Χριστοῦ, οἱ πᾶσαν ἐπίνοιαν, τοῦ παλαιοῦ πτερνιστοῦ, εἰς γῆν ἐδαφίσαντες, λύσατε τὰς ἐνέδρας, τῆς αὐτοῦ κακουργίας, ἅσπερ ἐπινοεῖται, καθ' ἡμῶν καθ' ἑκάστην, εἰρήνην καὶ σωτηρίαν, ἡμῖν αἰτούμενοι.

Τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

**Χ**αρὰν ἡμῖν τέτοκας, τὸν Βασιλέα Χριστόν, τὸν λύσαντα ἅπασαν, τῆς ἀρχεγόνου ἀρᾶς, ὀδύνην καὶ κάκωσιν· ὅθεν σε Θεοτόκε, κατὰ χρέος ὑμνοῦντες, χαῖρέ σοι ἐκβοῶμεν, ἡ σωτήριος πύλη, ἡ πάντας ὁδηγοῦσα, ζωὴν εἰς αἰώνιον.

Ὠδὴ δ'. Ἐπὶ τῆς θείας φυλακῆς.

**Τ**ῆς εὐσεβείας τῷ φωτί, ἀναδραμόντες νουνεχῶς, γνόντες ἀσεβείας τὴν πλάνην, νοΐ οὐρανόφρονι, Μάρτυρες ἀεισέβαστοι, καὶ πάντα ἀρνησάμενοι κόσμον, πρὸς πάντα πόνον νομίμως ἀπεδύσασθε.

**Ὑ**πὲρ τῆς πίστεως Χριστοῦ, ἀγωνιζόμενοι στερρῶς, τῶν κολαστηρίων τὰ εἴδη, ὡς τρυφὰς ἡγήσασθε, γενναῖοι Νεομάρτυρες, καὶ πάσαις ταῖς ποιναῖς ὁμιλοῦντες, τῶν παθημάτων τοῦ Χριστοῦ σύμμορφοι ὤφθητε.

**Σ**ὺν Θεοδώρῳ Μανουήλ, καὶ Γεωργίοις τοῖς δυσίν, ἅμα Μιχαὴλ τὸν γενναῖον, συμφώνως τιμήσωμεν· μιᾷ γὰρ γνώμῃ ἤθλησαν, καὶ ἴσων ἐπαξίως ἐπάθλων, παρὰ τοῦ πάντων Δεσπότου ἠξιώθησαν.



Θεοτοκίον.

**Ἱ**εροφθόγγων Προφητῶν, ῥήσεις Παρθένε ἱεραί, πάλαι κιβωτόν σε, καὶ πύλην, καὶ ὄρος κατάσκιον, συμβολικῶς ἐκήρυττον· ἡμεῖς δὲ τὰς ἐκβάσεις ὁρῶντες, τὰ μεγαλεῖά σου Κόρη μεγαλύνομεν.

Ὠδὴ ε'. Ὀρθρίσωμεν ὄρθρου βαθέος.

**Ν**οῦν θεῖον πλουτήσαντες ὄντως, ἐπὶ κριτῶν παρανόμων, τὴν σάρκωσιν τοῦ Σωτῆρος, εὐσθενῶς ἐκήρυττον, τὴν πλάνην καταισχύνοντες, Μάρτυρες Χριστοῦ οἱ πεντάριθμοι.

**Ἐ**τμήθης μαχαίραις τὸ σῶμα, τῇ τῶν τυράννων μανίᾳ, καὶ ἄτμητος ἐν τῇ πίστει, τοῦ Σωτῆρος ἔμεινας, ὦ Μιχαὴλ πανθαύμαστε, δόξαν Μαρτύρων κληρούμενος.

**Ν**εκρώσαντες ὄφιν τὸν πλάνον, τῷ τῆς ἀγχόνης θανάτῳ, Θεόδωρος σὺν Γεωργίῳ, Μανουὴλ ὀγκίνοις δέ, Γεώργιος ὁ ἕτερος, δόξης ἀλήκτου ἐπέβησαν.

Θεοτοκίον.

**Θ**εὸν ἀπορρήτως τεκοῦσα, Θεογεννῆτορ Παρθένε, ἐθέωσας τὴν οὐσίαν, τοῦ Ἀδὰμ τὴν ἔκπτωτον, καὶ ταύτην ἐπανήγαγες, πρὸς τὴν ἀφθαρσίαν τῷ τόκῳ σου.

Ὠδὴ στ'. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

**Ἐ**ν Μάκρῃ, διηγωνισμένοι στερρῶς, κατεπλήξατε ὑμῶν τῇ ἀνδρείᾳ, Ἀγγέλων καὶ τῶν βροτῶν τοὺς χορούς, Νεομάρτυρες· ὡς γὰρ ἄσαρκοι πικρούς, ὑπεμείνατε πόνους.

**Ο**ἱ θεῖοι, καὶ νεοφανεῖς Ἀθληταί, Σαμοθράκης οἱ λαμπροὶ πολιοῦχοι, καὶ Μάκρης οἱ θαυμαστοὶ ἀρωγοί, ἀνυμνείσθωσαν, ὡς ὁπλῖται τοῦ Χριστοῦ, καὶ νεόθυτοι ἄρνες.

**Ν**ομίμως, σὺν τῷ Μανουὴλ τῷ κλεινῷ, Μιχαὴλ σὺν τοῖς δυσὶ Γεωργίοις, δραμόντες, τὴν μαρτυρίου ὁδόν, καὶ Θεόδωρος, δωρεῶν τῶν θεϊκῶν, ἠξιώθησαν ἅμα.

Θεοτοκίον.

**Ἀ**γγέλων, σὺ εἶ Θεοτόκε χαρά, καὶ ἀνθρώπων ἀληθὴς προστασία, καὶ πάντων ἁμαρτωλῶν προσφυγή· διὸ οἴκτειρον, τὴν πεσοῦσάν μου ψυχήν, εἰς βυθὸν ἁμαρτίας.

Κοντάκιον. Ἦχος δ'.
Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

**Τ**ῆς Σαμοθράκης τὰ ἀμάραντα ἄνθη, καὶ οἱ τῆς Μάκρης βοηθοὶ καὶ προστάται, μαρτυρικοῖς ἐπαίνοις εὐφημείσθωσαν, Μανουὴλ Θεόδωρος, καὶ Γεώργιος ἅμα, Μιχαὴλ ὁ ἔνθεος, καὶ Γεώργιος ἄλλος, ἵνα Χριστῷ πρεσβεύωσιν ἀεί, πᾶσι δοθῆναι, πταισμάτων συγχώρησιν.

Ὁ Οἶκος.

**Ὁ** πεντάριθμος χορός, τῶν νεοφανῶν Ἀθλητῶν, οἱ τοῦ Σωτῆρος στρατιῶται ἀρραγεῖς, καὶ Μάρτυρες περιφανεῖς, τὴν Ἐκκλησίαν συναγείρουσι, πρὸς αἶνον καὶ ὕμνον τῆς θαυμαστῆς ἀθλήσεως αὐτῶν· ἐν ἡλικίᾳ γὰρ πάνυ νεανικῇ, αἰχμάλωτοι τελοῦντες, βίᾳ ὑπήχθησαν τῇ πλάνῃ τῇ θεοστυγεῖ· ἀλλὰ φωτὶ τῆς χάριτος καταυγασθέντες, Χριστὸν λαμπρῶς ὡμολόγησαν, καὶ μαρτυρικῶν ἀγώνων στάδιον, ἀπεριτρέπτῳ καρδίᾳ διήνυσαν, καὶ δοξασθέντες παρὰ Θεοῦ, τῆς Ἐκκλησίας στῦλοι ὤφθησαν νεοπαγεῖς, τῆς Σαμοθράκης θεοδόξαστοι βλαστοί, καὶ τῆς κώμης Μάκρης πολιοῦχοι καὶ ἀρωγοί. Ἀλλ' ὦ Μανουὴλ καὶ Θεόδωρε, Γεώργιε καὶ Μιχαήλ, σὺν τῷ νεωτέρῳ Γεωργίῳ, μὴ παύσησθε πρεσβεύοντες Χριστῷ, πᾶσιν δοθῆναι πταισμάτων συγχώρησιν.

Συναξάριον.

Τῇ στ' τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ἁγίων ἐνδόξων πέντε Νεομαρτύρων Μανουήλ, Θεοδώρου, Γεωργίου, Μιχαὴλ καὶ ἑτέρου Γεωργίου, τῶν ἐκ Σαμοθράκης, καὶ ἐν Μάκρῃ τῆς Θράκης ἀθλησάντων ἐν ἔτει ͵αωλς' (1836).

Στίχ. Πεντάριθμον σύνταγμα νέων Μαρτύρων
Ἀθλήσαντες ᾔσχυναν πλάνης τὸ κράτος.

www.tezaurliturgic.ro



Ἕκτη πεντὰς ἀεθλοφόρων γηθόσυνοι
γαῖαν λίπον.

Οὗτοι οἱ ἅγιοι τοῦ Χριστοῦ νεοφανεῖς καὶ καλλίνικοι μάρτυρες Μανουήλ, Θεόδωρος, Γεώργιος καὶ ὁ ἕτερος, ὁ καὶ νεώτερος, Γεώργιος, πατρίδα ἔσχον τὴν νῆσον Σαμοθράκην, ὁ δὲ Μιχαὴλ ἦν ἐκ τῆς μεγαλονήσου Κύπρου, καὶ ἤθλησαν περιφανῶς τῷ ιθ′ αἰῶνι, ὧν ἡ μαρτυρία ἐγένετο οὕτως· Ἐν ἔτει ͵αωκα′, καθ᾽ ὃ ἠγέρθη ἐπαναστὰν τὸ τῶν Ἑλλήνων εὐσεβὲς γένος κατὰ τῶν κρατούντων ἀπίστων Ἀγαρηνῶν, πικροτέρᾳ δουλείᾳ περιῆλθε καὶ ἡ νῆσος αὕτη Σαμοθράκη· ἐπελθόντων γὰρ ἐξ Ἀβύδου καὶ Τενέδου, καὶ ἄλλων τινῶν τόπων πλείστων μαινομένων Ἀγαρηνῶν, μέγα μέρος τῶν κατοίκων αὐτῆς, τοὺς μὲν ἄνδρας φόνῳ μαχαίρας παρέδωκαν, τὰς δὲ γυναῖκας σὺν τοῖς παισὶ βιαίᾳ χειρὶ καὶ ἀπαγωγῇ ἄξαντες, αἰχμαλώτους ἐξαπέστειλαν ἔν τε Ἀνατολῇ καὶ Εὐρώπῃ καὶ Αἰγύπτῳ. Ἐν τῇ χορείᾳ τῶν αἰχμαλώτων τούτων συγκατελέγοντο καὶ οὗτοι· ἐξ ὧν ὁ Μιχαήλ, πρεσβυτέραν ἄγων ἡλικίαν, φόβῳ συσχεθείς, ἠρνήσατο τὴν πάτριον εὐσέβειαν, καὶ τὸ σωτήριον τοῦ Σωτῆρος ὄνομα, οἱ δὲ λοιποὶ τέσσαρες παῖδες, νεανικὴν γὰρ ὥραν ἦγον, πραθέντες ὡς ὤνιοι, ὑπὸ χεῖρας Τούρκων ἐγένοντο δοῦλοι, ὧν τῇ βίᾳ ὑπαχθέντες, ἀντηλλάξαντο τὴν ἀληθῆ πίστιν τῇ τοῦ Μωάμεθ ἀπάτῃ. Ἐκ τούτων ὁ Μανουὴλ πωληθεὶς εἰς Αἴγυπτον, ἐπαιδεύθη ἐν πάσῃ τῇ τῶν Ἀγαρηνῶν παιδείᾳ, καὶ ἐγκρατὴς γέγονε τῆς τῶν Ἀράβων διαλέκτου, καὶ ἐπὶ πλεῖον ἐπιδέδοται τῇ μελέτῃ τῶν γραφῶν αὐτῶν.

Ἱκανοῦ παρεληλυθότος χρόνου, καὶ εἰρήνης ἀνατειλάσης, ἅτε ἐλευθερωθείσης τῆς Ἑλλαδικῆς γῆς, πλεῖστοι ἐκ τῶν ἐν αἰχμαλωσίᾳ τελούντων Χριστιανῶν, ἐλευθερίας ἀπήλαυον, ἕτεροι δὲ λάθρᾳ ἀνεχώρουν, καὶ πάντες ἀποκαθίσταντο τοῖς οἰκείοις τόποις. Τότε καὶ οἱ πέντε οὗτοι παλιννοστήσαντες τῇ Σαμοθράκῃ, καὶ κάτοχοι γενόμενοι τῶν οἰκείων κτημάτων, ἡνώθησαν τοῖς Χριστιανοῖς, ἀποπτύσαντες τὴν πλάνην, ᾗ βίᾳ ἐν ἀώρῳ ἡλικίᾳ ὑπήχθησαν· μετανοίᾳ γὰρ εἰλικρινεῖ καὶ θείῳ ἀναμυρισμῷ, τῇ τοῦ Χριστοῦ ποίμνῃ καὶ αὖθις ἠριθμήθησαν. Ἀλλὰ τοῦτο γνωστὸν γέγονε τοῖς παροικοῦσιν ἐν Σαμοθράκῃ Τούρκοις, καὶ διὰ τούτων τοῖς ἐν Θράκῃ τοιούτοις· καὶ ὁ τότε ἡγεμὼν σὺν τῷ ἱεροδικαστῇ αὐτῶν, ἀπειλῇ ἀπειλήσαντες αὐτοῖς, λαβόντες δὲ τὸ ἱκανόν, ἀφῆκαν αὐτοὺς ἐλευθέρους καὶ ἀνεπηρεάστους, ἄχρι καιροῦ. Τοῦτο δὲ γέγονε πολλάκις, κατὰ τὴν τῶν ἡγεμόνων ἐναλλαγήν, οἱ δὲ μακάριοι πλείσταις διέκειντο ἐκ τούτου συμφοραῖς καὶ ζημίαις, ἀδιασείστῳ καρδίᾳ τὰ πάντα φέροντες. Τοὐντεῦθεν οἱ τῆς νήσου Χριστιανοί, ἀγάπῃ βαλλόμενοι, συνεβούλευον αὐτοῖς ἀπελθεῖν τῇ Ἑλλάδι, ἵνα μὴ καὶ τοῦ ζῆν στερηθῶσιν· ἀλλ᾽ οὗτοι, ἀτρέπτῳ λογισμῷ, βουλὴν καλὴν ὁμογνωμόνως ἔθεντο, μαρτυρῆσαι ὑπὲρ Χριστοῦ, καὶ τὸ αἷμα αὐτῶν ὑπὲρ τῆς δόξης αὐτοῦ ἐκχέαι, καιροῦ, θείᾳ νεύσει, ἐπιστάντος. Ταὐτὰ ὑπέθετο τοῖς μακαρίοις καὶ ὁ τῆς Τραϊανουπόλεως ἀρχιερεύς, ὁ τὴν ἐπιτροπείαν ἔχων τοῦ ἀποδημίᾳ χρησαμένου τῇ βασιλευούσῃ Ἐπισκόπου Μαρωνείας, ᾧ καὶ ἡ Σαμοθράκη μερὶς ἐτύγχανεν· ὃς καταλαβὼν τὴν Κωνσταντινούπολιν, ἐπὶ ζητήμασι τῆς οἰκείας Ἐκκλησίας, ἀνήνεγκε τὰ τῶν μαρτύρων τῷ τότε Πατριάρχῃ, ὃς ἦν ὁ ἀπὸ Σερρῶν Γρηγόριος, εἰ δυνηθῇ βοηθῆσαι αὐτοῖς καιρῷ ἀνάγκης. Ἀλλ᾽ οὗτος ἀπηρνήνατο ἐπαγγεῖλαι ἀρωγήν, τῆς Ἐκκλησίας οὔσης ὑπὸ χεῖρα κραταιὰν τοῦ αὐτοῦ διώκοντος δυνάστου, δυνατοῦ ὄντος ὄλεθρον ἐπὶ πλείονας ἐπενεγκεῖν εἰπὼν ὅτι, καλόν ἐστιν αὐτοῖς ἵνα φυγῇ χρησάμενοι, ἀσφάλειαν κομίσωνται. Οἱ δὲ μακάριοι ἀτρέμως εἶχον, ἀπεκδεχόμενοι τὴν ἐξ ὕψους ἀρωγήν.

Ἐν ἐκείναις ταῖς ἡμέραις ἧκε τῇ ἐπὶ τῆς Θράκης, ἔναντι Σαμοθράκης κωμοπόλει, ἧς ἡ κλῆσις Μάκρη, ἱεροδικαστής, ἐπειλημμένος ἐξουσίας, (καδῆς κατὰ τὴν αὐτῶν φωνήν), ὃς ἦν ἄνθρωπος λίαν σκληρός, καὶ πλήρης ὠμότητος, οὗ ἡ κλῆσις Ἀπτιραχμάν, σφόδρα ἐπαμύνων τῇ τοῦ Μωάμεθ θρησκείᾳ. Οὗτος λαβὼν ὑπὸ χεῖρα καὶ τὴν τῆς Σαμοθράκης κυριότητα, ἐπεσκέψατο αὐτήν, ἐπὶ συγκομιδῇ τῶν ἑαυτοῦ δικαιωμάτων· ᾧτινι προδοσίᾳ ἀνηνέχθησαν τὰ περὶ τῶν μαρτύρων, ὃς μεταπεμψάμενος αὐτούς, ἐν σχήματι ἱλαρότητος καὶ τρόπῳ χρηστῷ διατεθεὶς αὐτοῖς, τὴν δῆθεν ἀλήθειαν τῆς ἑαυτοῦ πίστεως, καὶ τὰ ἐκ ταύτης ἀγαθὰ ἔν τε τῷ παρόντι καὶ τῷ μέλλοντι κόσμῳ ἀναπτύσσων παρίστησιν αὐτοῖς, ἵνα αὐτὴν δεχθῶσιν, εἰ δὲ μήγε θανάτῳ πικρῷ θανατώσει αὐτούς. Ἀλλ᾽ οἱ μάρτυρες ἀκαταπλήκτῳ ψυχῇ καὶ ἑδραίᾳ καρδίᾳ ἀπεκρίναντο ὁμοφώνως· «Ἡμεῖς, ὦ δικαστά, Χριστιανοὶ ἦμεν ἐκ τῶν πατέρων ἡμῶν· ἀλλ᾽ ἐν μικρᾷ ἡλικίᾳ αἰχμαλωτισθέντες, βιαίως ὑπήχθημεν τῇ πλάνῃ καὶ ἀσεβείᾳ ὑμῶν. Ἤδη γνόντες οἷον κακὸν πεπόνθαμεν, κυλισθέντες τῷ βυθῷ τῆς ἀπάτης, ἐπανήλθομεν τῇ τοῦ Χριστοῦ χάριτι, εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς, καὶ οὐδόλως ἀρνούμεθα τὴν ἀλήθειαν, ἀλλ᾽ ἑτοίμως ἔχομεν ἀποθανεῖν ὑπὲρ Χριστοῦ, τοῦ μόνου ἀληθινοῦ Θεοῦ».

Τούτων ἀκούσας ὁ δικαστής, καὶ ἐμβροντηθεὶς τῇ τόλμῃ αὐτῶν, ἐντολὴν δέδωκεν ἵνα αὐτοὺς ἐγκαθείρκτους ποιήσωσι. Κατὰ συγκυρίαν εὑρέθη ἐν Σαμοθράκῃ τότε καὶ ὁ ἀρχιερεύς, ὃν ἐν φιλικῷ ἤθει ὑποκρισίας ἠρώτα τί ἂν πράξειε τοῖς ὑβρισταῖς τῆς θρησκείας αὐτοῦ, θανάτῳ ὑποβαλεῖν, ἢ ἀνιέναι τῆς εἱρκτῆς, δοκιμάζων διὰ τούτου τὰς βουλὰς αὐτοῦ. Ὁ δὲ γνοὺς τὸν δόλον, «Οὐδὲν περὶ τούτων γινώσκω, ἔφη, ὦ δικαστά· σὸν γάρ ἐστι τὸ θανατῶσαι ἢ ἀπολῦσαι αὐτούς». Καὶ λαβὼν παρὰ τῶν μαρτύρων τὸ ἱκανόν, ἀπέλυσεν αὐτούς· τοῦτο γὰρ ἦν σκοπὸς αὐτοῦ, λαβεῖν ἀργύρια. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἰδοὺ ἕτερος τύραννος δυνάστης ἐλήλυθεν ἐκεῖσε, ὅμοιος τῷ προτέρῳ, πνέων πολλῆς μανίας, ὃς διατεταχώς, ἤγαγεν ἐκ Σαμοθράκης τῇ Μάκρῃ τοὺς πενταρίθμους ὁμολογητὰς καὶ μάρτυρας βίᾳ τυραννικῇ, καὶ τῇ ἐπιούσῃ νυκτὶ ἐνέκλεισεν εἰς ζοφώδη καὶ σκοτεινὴν εἱρκτήν, τοὺς δὲ πόδας αὐτῶν περιέσφιγξε τῇ ποδοκάκῃ. Ἤγετο τῇ ἐρχομένῃ ἡμέρᾳ ἡ τῶν Ἀγαρηνῶν νηστεία, ἥτις ῥαμαζὰν παρ᾽ αὐτῶν κέκληται· καὶ καθ᾽ ὅλην ταύτην οἱ μάρτυρες ἔμεινον ἐγκάθειρκτοι. Ὀψίας δὲ γενομένης, καὶ τροφῶν πολλῶν, ἐν ἀδηφαγίᾳ κορεσθέντων τῶν δυσσεβῶν, ὡς ἦν αὐτοῖς ἔθος, ἐντολῇ τοῦ ἄρχοντος, παρέστησαν τῷ βήματι αὐτοῦ οἱ μακάριοι· ὅς, τυραννικῷ ἤθει καὶ σοβαρῷ προσώπῳ, (ἀλβανὸς γὰρ ἦν τὸ γένος, καὶ ἀπηνὴς τῷ τρόπῳ), ἐπυνθάνετο ποῖοι καὶ πόθεν ἦσαν. Οἱ δὲ ἱλαρότητι προσώπου εἶπον· «Ἡμεῖς, ὦ ἄρχον, Χριστιανοὶ ἤμεθα ἐκ προγόνων, γεγεννημένοι καὶ ἀνατεθραμμένοι ἐν τῇ νήσῳ Σαμοθράκῃ· καὶ ἐν δυσχειμέρῳ καιρῷ δεινῆς καταδρομῆς τῇ πατρίδι ἡμῶν, οἱ μὲν τοκεῖς ἡμῶν σὺν πλείστοις ἄλλοις εὐσεβέσι θανάτῳ ἀπώλοντο, ἡμεῖς δέ, παιδία ὄντες, αἰχμαλωσίᾳ ληφθέντες, ἐπωλήθημεν ὁμοθρήσκοις ὑμῶν, παρ᾽ ὧν θωπείᾳ καὶ ἀπειλῇ βιασθέντες, ἐδεξάμεθα τὸ σέβας ὑμῶν· ὡρίμου δὲ ἡλικίας ἐπιβάντες, καὶ εἰδότες οἷον τὸ τῆς πλάνης σκότος, ἐπανήλθομεν ταχυτάτῳ ποδὶ τῷ φωτὶ τῆς ἀληθοῦς προγονικῆς ἡμῶν πίστεως, ὑπὲρ ἧς ἑτοίμως ἔχομεν καὶ θάνατον ὑποστῆναι, ὡς ἂν τῆς ἀθανάτου ζωῆς τύχωμεν».

Αὐτήκοος τούτων γεγονώς, καὶ ὑπερζέσας τῷ θυμῷ ὁ τύραννος, ἔφη τοῖς μακαρίοις· «Ποίᾳ τόλμῃ, ὦ ἄφρονες, κατεφρονήσατε τῆς τοῦ Μωάμεθ πίστεως, ἥτις καὶ τὸ ζῆν ὑμῖν ἐβράβευσεν, ἡνίκα κινδύνοις περιεσχέθητε, ἐν οἷς οἱ τεκόντες ὑμᾶς ἀπώλοντο, καὶ τῆς μελλούσης ἁδρᾶς ὑπισχνεῖται ἐπαγγελίας»; «Ἡμεῖς, ἀντέφησαν οἱ μάρτυρες, οὐδόλως ἀνεχόμεθα ὑπαχθῆναι αὖθις τῇ ἀσεβείᾳ· Χριστός ἐστιν ἡ ζωὴ ἡμῶν, ἐν ᾧ ζῶμεν καὶ ζησόμεθα, ὑπὲρ οὗ καὶ θανεῖν προθύμως αἱρούμεθα, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, ἧς τὸ τέλος κόλασις αἰώνιος· ὑμῶν ἔστωσαν τὰ προτεινόμενα ἀγαθά, ἃ φθορὰ ἀφανίζει· ἡμεῖς γὰρ Χριστιανοί ἐσμεν, καὶ Χριστιανοὶ ἐσόμεθα· ἠπατήθημεν γὰρ πάλαι, ἐν ἀωρίᾳ φύσεως, ἀρνηθέντες τὴν σωτήριον τοῦ Σωτῆρος κλῆσιν, ἐν ᾗ ζωὴ αἰώνιος, ἣν νῦν ὁμολογοῦμεν καὶ παρρησίᾳ κηρύττομεν ἐπὶ πάντων· Χριστῷ πιστεύομεν καὶ Χριστιανοὶ θανούμεθα· οὐ γὰρ περιτρέψεις ἡμᾶς τῆς κρείττονος στάσεως».

www.tezaurliturgic.ro



Σφόδρα θυμωθεὶς ἐπὶ τούτοις ὁ ἄρχων, ἔθετο τοὺς μάρτυρας ἐν φυλακῇ, καὶ τὰς μὲν χεῖρας αὐτῶν προσέδησεν ἐξόπισθεν, τὸν τράχηλον ἁλύσεσι, καὶ τοὺς πόδας τῷ τιμωρητικῷ ξύλῳ, ὥστε μένειν μετέωρον τὸ σῶμα, πρὸς μείζονα τιμωρίαν. Τοιῷδε τρόπῳ τιμωρούμενοι καὶ ἀλγοῦντες οἱ ἅγιοι, ἔχαιρον καὶ ἠγαλλιῶντο σφόδρα, ὡς ἀξιωθέντες παθεῖν ὑπὲρ Χριστοῦ· καὶ λόγοις ἐνθαρρυντικοῖς ἕτερος τὸν ἕτερον ἤλειφον καὶ ἐθαρσοποίουν τοῖς προκειμένοις ἀγῶσιν, εὐχαριστοῦντες τῷ Κυρίῳ καὶ δεόμενοι, ἵνα καὶ οἱ πέντε ὁμοῦ μιᾷ ψυχῇ ἀγωνισθῶσι μέχρι τέλους, ὑπὲρ τῆς καλῆς ὁμολογίας, λέγοντες· «Μὴ φοβηθῶμεν, ἀδελφοί, τὸν πρόσκαιρον θάνατον, μηδὲ δειλιάσωμεν τὰς βασάνους, παρέρχονται γάρ· τὸν Θεὸν φοβηθῶμεν τὸν διδόντα δύναμιν τοῖς ἐλπίζουσι τῷ ἁγίῳ αὐτοῦ ὀνόματι». Ἐφιέμενοι δὲ μετασχεῖν τῶν ἀχράντων Μυστηρίων ἔτυχον τῆς κατὰ γνώμην ἐφέσεως, τοιῷδε τρόπῳ· μαθόντες γὰρ τοῦτο οἱ τῆς Μάκρης προὔχοντες, ἀγαθὴν ἐβουλεύσαντο ἐπίνοιαν διακονῆσαι αὐτοῖς· ἀδυνάτως γὰρ εἶχον ἄλλως, ἡ δὲ ἦν αὕτη. Ἀνηνέχθησαν τῷ ἡγεμόνι κατὰ τοῦ ἱερέως, ὡς δῆθεν μὴ βουλομένου καταβαλεῖν τῇ ἐξουσίᾳ τοὺς φόρους. Πιστεύσας ὁ ἡγεμὼν τοῦτο ὡς ἀληθές, ἐνετείλατο ἐγκλεισθῆναι τῷ δεσμωτηρίῳ τὸν ἱερέα, ὃ καὶ γέγονεν, ἐπιτυχόντος τοῦ προσχήματος.

Εἶχεν οὖν ἡ εἱρκτὴ τὸν ἱερέα, καὶ οἱ μάρτυρες ἔχαιρον τυχόντες τοῦ ἐφετοῦ, καὶ τὰ μάλα εὐφρανθέντες, ῥήμασιν ἁγίοις καὶ ἀναστροφῇ θείᾳ τῷ λειτουργῷ τῆς χάριτος, ἔτι καὶ ἔτι ἀναγόμενοι ἐπὶ τὰ κρείττονα. Παρεληλυθυιῶν τριῶν ἡμερῶν, προσταγῇ τοῦ τυράννου ἤγαγον ἐπὶ τοῦ βήματος τοὺς μάρτυρας, οὐχὶ ὁμοῦ, ἀλλ' ἕνα καθ' ἕκαστον. Καὶ πρῶτος ἄγεται ὁ Μανουήλ, ὡς κάτοχος τῆς ἰδίας διαλέκτου καὶ γινώσκων τὰς γραφὰς τῆς τοῦ Μωάμεθ θρησκείας· ὃν ποικίλοις λόγοις ἠβουλήθη πεῖσαι δεχθῆναι τὴν πλάνην, ἢ καὶ ψιλῷ μόνῳ ῥήματι, ὡς ἂν ἀποφεύξηται τὴν τοῦ θανάτου ψῆφον, καὶ τὸν ἐπιόντα χρόνον βιώσηται χριστιανικῶς. Ἀλλ' ὁ μάρτυς θεόφρονι χρώμενος λογισμῷ, ἀντέστη ἐρρωμένως, ἀποκρούσας τὸν δόλον, εἰπών, ὅτι ἕτοιμός εἰμι θανεῖν ὑπὲρ Χριστοῦ, ἐθελουσίως τοῦτο αἱρετισάμενος, ᾧ σύμφρονες καὶ ὁμογνώμονες καὶ οἱ πέντε ἐσμέν· μίαν γὰρ γνώμην ἅπαντες κεκτήμεθα πρὸς τοῦτο, τῇ τοῦ Χριστοῦ βοηθείᾳ καὶ χάριτι. Εἶτα ἄγεται ὁ τῇ ἡλικίᾳ προβεβηκὼς Μιχαήλ· ὃς παντοίως κολακευθείς, καὶ ἀδάμαντος στερρότερος εὑρεθείς, κατῄσχυνε τὸν διώκτην, εἰπὼν οἷα καὶ ὁ μακάριος Μανουήλ, ἅ, συνῳδὰ τούτοις ἀνωμολόγησαν καὶ οἱ ἕτεροι τρεῖς, πεπαρρησιασμένῃ ψυχῇ καὶ ἀπτοήτῳ φρονήματι. Ἄγεται αὖθις ὁ Μανουήλ, ὅστις καταπτύσας ἐπαγγελιῶν προσφορὰν καὶ θωπείας καὶ τιμωρίας, λαμπρᾷ τῇ φωνῇ καὶ ἐλευθερίῳ στόματι ὡμολόγησε καὶ πάλιν τὴν καλὴν ὁμολογίαν, θριαμβεύσας καὶ κατορχησάμενος τῆς τῶν ἀντικειμένων ἀπάτης, ὡς σοφὸς ἔν τε γνώσει καὶ λόγοις, ἰδίᾳ δὲ τὴν ἑαυτῶν βίβλον, ἣν Κορὰν καλοῦσιν, ὡς γέμουσαν μυθολογιῶν καὶ φληναφημάτων, καὶ ἀπατηλῶν καὶ χαμαιπετῶν ἐπαγγελιῶν· καὶ εἶχεν αὖθις δεσμίους τούτους τὸ δεσμωτήριον. Συμβούλιον δὲ λαβόντες ὅ τε ἡγεμὼν μετὰ τοῦ καδῆ, ἐξέθεντο πάντα ταῦτα γράμμασι τῷ τῆς ἐπαρχίας πρώτῳ ἄρχοντι, ᾧ ἡ κλῆσις Βασάφ, ὃς καὶ μυστικὸς γραφεὺς ἦν τῷ Σουλτὰν Μαχμούδ, τὰς διατριβὰς ἐν τῇ βασιλευούσῃ ποιουμένῳ. Οἱ δὲ μάρτυρες ἐπὶ εἴκοσι πρὸς τρισὶν ἡμέρας ἐγκάθειρκτοι τελοῦντες, ποικιλοτρόπως ἐβασανίσθησαν καὶ ἤλγησαν, τυραννικῇ ὠμότητι καὶ ἀπηνείᾳ, ἄγευστοι τροφῆς, ὑστερούμενοι καὶ θλιβόμενοι· μεθ' ἃς ἧκεν ἡ τοῦ ἄρχοντος φάσις, θανατωθῆναι σκληρῷ καὶ βιαίῳ θανάτῳ, ὡς ὑβρίσαντας τὴν πίστιν αὐτῶν. Τὸ τέλος τῶν μακαρίων οὕτως ἐγένετο· ἐντολῇ γὰρ τοῦ διώκτου ἐνεπάγησαν ἐπὶ σανίδων σίδηρα συνεστραμμένα, δίκην ὀγκίνων, ὡς ἂν ἐπ' αὐτῶν ῥιφθέντες ἀνηλεῶς θανατωθῶσιν οἱ μάρτυρες. Καὶ τῇ ἐπιούσῃ ἁρπάσαντες οἱ δήμιοι τῆς εἱρκτῆς τὸν Μιχαήλ, ὡς πρεσβύτερον, ἤγαγον τῇ ἀγορᾷ, βιάζοντες πρὸς ὁμολογίαν τῆς ἑαυτῶν δυσσεβείας. Ἀλλ' ὁ μάρτυς μηδόλως προσχών, ἐκήρυξε καὶ τελευταῖον τὴν Χριστώνυμον κλῆ-



σιν, αἰσχύνας τῆς πλάνης τοὺς ὑπηρέτας· οἵτινες θυμῷ ὑπερζέσαντες, λεπτοῖς τεμαχίοις μαχαίραις κατέκοψαν τὸν μακάριον, ὄρθιον ἐν προσευχῇ ἱστάμενον, καὶ οὕτως ἐτελειώθη ἡ μαρτυρία αὐτοῦ, καὶ εἴληφε πρῶτος τὸν στέφανον τῆς δόξης· ἦν δὲ τότε ἡμέρα ἕκτη τοῦ Ἀπριλίου μηνός, Δευτέρα δὲ τοῦ Θωμᾶ. Ἐν τῷ ἅμα ἐξαγαγόντες καὶ τοὺς λοιποὺς τέσσαρας, οἵτινες μεταγόμενοι εἰς τὸν τῆς καταδίκης τόπον, εἶδον ἐρριμμένα ἐν τῇ ὁδῷ τὰ μέλη τοῦ μακαρίου Μιχαήλ, καὶ ηὐχαρίστησαν τῷ Κυρίῳ τῷ ἐνισχύσαντι τοῦτον, ἐπὶ πλεῖον θαρσοποιηθέντες πρὸς τὸ μακάριον τέλος. Καὶ τοὺς μὲν Γεώργιον καὶ Θεόδωρον ἀγχόνῃ παρέδωκαν, τὸν δὲ Μανουήλ, ὡς ἐν δυνάμει λόγου καὶ σοφίας ἐπιφανῶς ἐλέγξαντα τὴν πλάνην αὐτῶν, ἤγαγον ἐπὶ τοῖς ὀγκίνοις· καὶ ἀπαγορεύσαντες αὐτῷ ἵνα τὸ ὕστατον προσευχηθῇ, ἐβίαζον πρὸς ἐξώμοσιν· ὁ δὲ τελευταῖον ἐλέγξας τὴν παράνοιαν καὶ μυθοπλαστίαν τῆς ἀσεβείας αὐτῶν, εἶπεν· «Ὦ μιαρώτατοι, ἡμεῖς ἐθελουσίως παραδιδόμεθα εἰς θάνατον διὰ Χριστόν, οὐαὶ δὲ ὑμῖν τοῖς ἀσεβέσι καὶ ἀνόμοις· Χριστὸς γὰρ ὁ τῶν ὅλων Θεός, δι' ὃν ἀποθνήσκομεν, αὐτὸς θέλει ἐκδικήσει τὸ αἷμα ἡμῶν, καὶ ἀποδώσει τὰ ἐπίχειρα τῆς κακίας ὑμῶν, ἐν δικαίᾳ κρίσει». Ταῦτα εἰπόντος τοῦ μάρτυρος, ὤθησεν αὐτὸν ὁ δήμιος, καὶ ἔρριψεν ἐπὶ τῶν ὀγκίνων, οἵτινες ἐνεπάγησαν ὀδυνηρῶς ἐπὶ τῶν στέρνων καὶ τῆς κοιλίας καὶ τῶν λοιπῶν τοῦ μακαρίου μελῶν, δριμυτάτην ὀδύνην προξενοῦντες αὐτῷ. Ὡσαύτως ἔρριψαν καὶ τὸν μακάριον Γεώργιον, τὸν νεώτερον, οὗ πεσόντος, ὢ τοῦ θαύματος! ἔκλιναν τὰ αἰχμηρὰ ὄργανα ὡς μόλυβδος, μηδόλως τρώσαντα τὸ σῶμα αὐτοῦ. Ἀνασύραντες δὲ τοῦτον, καὶ στομωθέντων ὑπὸ χαλκέως, ἐπανέρριψαν, ᾧ ἐπέβη ποσὶν ὁ δήμιος, ἵνα ταχέως προσηλωθῇ ὁ πολύτλας μάρτυς. Καὶ ὁ μὲν Μανουὴλ παρέδωκεν εἰς χεῖρας Θεοῦ τὸ πνεῦμα αὐτοῦ, ὁ δὲ Γεώργιος ἔμεινε ζῶν προσηλωμένος ἐπὶ εἴκοσι καὶ τέσσαρας ὥρας ἀνυποίστοις ὀδύναις βαλλόμενος ὁ γενναῖος· νύκτωρ δὲ ἐλθόντες Χριστιανοὶ λόγοις παρακλήσεως παρεμυθοῦντο τὸν οὕτω βασανιζόμενον μάρτυρα, καὶ ὑφάσμασιν ἐλάμβανον τὸ μαρτυρικὸν αἷμα πρὸς ἁγιασμόν, δι' οὗ πλεῖστοι ἐθεραπεύθησαν, οὐ μόνον Χριστιανοί, ἀλλὰ καὶ Ἀγαρηνῶν γυναῖκες, ἅμα δὲ ἐδέοντο οἱ εὐσεβεῖς ἵνα ἐνισχύσῃ ὁ Σωτὴρ τὸν ἑαυτοῦ μάρτυρα· αὐτὸν δὲ τοῦτον παρεκάλουν ὡς ἂν δέησιν ἱκέσιον ποιήσηται τῷ Κυρίῳ, πρὸς κατάπαυσιν τῆς βροτολοιγοῦ πανώλους, τῆς τότε ἐνσκηψάσης, καὶ πλείστους τῷ θανάτῳ παραπεμπούσης.

Τελεσθέντων τούτων δέδοται ἐντολή, ἵνα ἀρθῶσιν ἐκεῖθεν τὰ λείψανα τῶν μαρτύρων, μέλλοντος διέρχεσθαι τοῦ τῆς Μάκρης ἄρχοντος, ὃς κέκληται Μουσταφᾶς, καὶ ὃς οὐκ ἦν συγκατατεθειμένος τῷ θανάτῳ αὐτῶν. Ἐλθόντες οἱ δήμιοι, τῶν μὲν ἄλλων μαρτύρων ἦραν ἐκ τῆς ἀγχόνης καὶ τῶν ὀγκίνων τὰ λείψανα, τὸν δὲ πολύαθλον Γεώργιον ὡς εἶδον ἔτι ζῶντα, πυροβολήσαντες τῇ κεφαλῇ ἐθανάτωσαν, καὶ οὕτως ἐτελειώθη καὶ οὗτος ὁ ἀοίδιμος. Νεύσει δὲ τῶν κρατούντων ἔλαβον οἱ εὐσεβεῖς τὰ μαρτυρικὰ λείψανα, καὶ ἐνεταφίασαν ἐντίμως, δοξάζοντες τὸν Θεόν, καὶ τιμῶντες τοὺς ἑαυτοῦ μεγαλομάρτυρας.

Ἔνθεν πικροῖς ἐτασμοῖς ἠτάσθησαν οἱ αἱμοβόροι ἐκεῖνοι τύραννοι· καὶ ὁ μὲν δήμιος, ὁ ἀπαγορεύσας τῷ μακαρίῳ Μανουὴλ προσεύξασθαι, μετὰ τρίτην ἡμέραν κρουσθεὶς ὑπὸ τῆς πανώλους, κακῶς ὁ κακὸς ἐξέψυξε, τοῦ δὲ ἑτέρου τὸ πρόσωπον ἐστράφη εἰς τὰ ὀπίσω, θέαμα ἐλεεινὸν τοῖς ὁρῶσι πεφηνότος. Ὁ δὲ τύραννος Βασάφ, ὁ ἀποφηνάμενος θανατωθῆναι τοὺς ἁγίους, διὰ τοῦτο ὑποπεσὼν τῇ τοῦ Σουλτὰν Μαχμοὺδ δυσμενείᾳ, ὑπερόριος γέγονεν ἐν Βάρνῃ, ἔνθα καὶ ἀπεκεφαλίσθη, ὡσαύτως καὶ ὁ κηδεστὴς αὐτοῦ Παρτὰρ ἐν Ἀνδριανουπόλει. Ὁ δὲ θηριόγνωμος Τζελάλ, ὁ πικρῶς τιμωρήσας καὶ θανατώσας τοὺς μάρτυρας, (τοιούτῳ γὰρ ὀνόματι ἐκέκλητο ὁ τύραννος), κληθεὶς ἐν τῇ βασιλευούσῃ δοῦναι λόγον ὧν διεχειρίσατο ἐν Μάκρῃ πραγμάτων, δικαίως ἐκεῖσε πεφόνευται, καὶ οὕτως ἔλαβε πέρας ἡ προφητεία τοῦ μάρτυρος Μανουήλ.

www.tezaurliturgic.ro



Ἐτελειώθησαν οἱ καλλίνικοι οὗτοι νέοι μεγαλομάρτυρες κατὰ μῆνα Ἀπρίλιον, τοῦ σωτηρίου ἔτους αωλς' (1836), ἐν τῇ κατὰ Θράκην παραλίῳ κώμῃ Μάκρῃ, ἔναντι οὔσῃ τῆς νήσου Σαμοθράκης.

Ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ' Ὁ Παῖδας ἐκ καμίνου.

Συμφώνως τὸν ἀγῶνα ἀνύσαντες, καλλίνικοι Μάρτυρες, γνώμῃ ἀκλινεῖ, ἴσων ἐπάθλων πρὸς Χριστοῦ, ἠξιώθητε ἅμα κραυγάζοντες· ὁ μόνος εὐλογητὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Μανίᾳ τῶν ἐχθρῶν ὑπηνέγκατε, ὡς ἄσαρκοι ἅγιοι, τὴν ὀδυνηράν, ἐν τοῖς ὀγκίνοις τελευτήν, καὶ ζωὴν ἀτελεύτητον εὕρατε, σοφὲ Μανουὴλ σὺν Γεωργίῳ, Χριστοῦ ἄμωμα σφάγια.

Ἀγχόνῃ ὁ θεόφρων Γεώργιος, ὁμοῦ καὶ Θεόδωρος, ἤρθησαν Χριστῷ, καὶ μεληδὸν ὁ Μιχαήλ, ἐκτμηθεὶς τελεώτερον ἥνωται, τῷ πάντων Βασιλεῖ καὶ Δεσπότῃ, ὡς μάρτυς καρτερόψυχος.

Θεοτοκίον.

Γεννήσασα τὸν πάντων Δεσπόζοντα, Ἁγνὴ ὑπὲρ ἔννοιαν, τὴν τῶν γηγενῶν, ἐν τῷ Προπάτορι ἀράν, τῷ ἀχράντῳ σου τόκῳ ἠφάνισας· διό περ ὡς εὐλογίας πηγήν σε, Παρθένε μακαρίζομεν.

Ὠδὴ η'. Αὕτη ἡ κλητή.

Ἔχει βοηθούς, καὶ θερμοὺς πολιούχους, ὑμᾶς ἡ Σαμοθράκη, καὶ ἐν ὑμῖν ἐγκαυχᾶται, καὶ ἡ Μάκρη ὁμοῦ, ἀντιλήπτορας πλουτοῦσα εὐφραίνεται· διὸ ἀπαύστως ταύτας, φρουρεῖτε Ἀθλοφόροι.

Ῥώμῃ θεϊκῇ, καὶ ψυχῆς συμφωνίᾳ, ἀθλήσαντες νομίμως, Ἀθλητῶν τῶν ἀρχαίων, ἐν ὑστέροις καιροῖς, ἰσοστάσιοι ἐδείχθητε Μάρτυρες, καὶ τῆς Ἐκκλησίας, νεόφωτοι ἀστέρες.

Ἄσμασι καινοῖς, Νεομάρτυρες θεῖοι, ὑμῶν τὰς ἀριστείας ἀνευφημοῦμεν συμφώνως, Μανουὴλ Μιχαήλ, καὶ Θεόδωρε ὁμοῦ καὶ Γεώργιοι, ἀνυμνολογοῦντες, Χριστὸν τὸν ἀθλοθέτην.

Θεοτοκίον.

Σάρκα προσλαβών, ἐξ ἁγνῶν σου αἱμάτων, ὁ πάντα ἐκ μὴ ὄντων, ὑποστησάμενος Λόγος, καθωράθη βροτοῖς, Θεὸς ἅμα ἀσυγχύτως καὶ ἄνθρωπος, καὶ ἔσωσε Κόρη, ἡμᾶς ἐκ τῆς κατάρας.

Ὠδὴ θ'. Φωτίζου, φωτίζου.

Ἰδοὺ νῦν ἐπέστη, ὑμῶν ἡ μνήμη ἡ λαμπρά, Νεομάρτυρες θεῖοι, τοὺς πιστοὺς εὐφραίνουσα, ἐν ᾗ φαιδρῶς, ἐξαιρέτως σκιρτᾷ, Μάκρη ὁμοῦ, σὺν τῇ Σαμοθράκῃ, ὑμᾶς προστάτας πλουτήσασαι.

Μαρτύρων χορεία, πεντάριθμε νεοφανής, Μιχαὴλ ὁ θεόφρων Μανουὴλ Θεόδωρε, σὺν τοῖς δυσί, Γεωργίοις ὁμοῦ, ὡς τοῦ Χριστοῦ, θεῖοι παραστάται, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύετε.

Οἱ Μάκρης προστάται, καὶ Σαμοθράκης οἱ βλαστοί, Ἐκκλησίας δὲ πάσης, τὰ νέα προπύργια, πάσης ὀργῆς ἀνωτέρους ἡμᾶς, καὶ συμφορῶν, εἰσαεὶ τηρεῖτε, ὑμῶν πρεσβείαις Νεομάρτυρες.

Θεοτοκίον.

Ὑψίστου καθέδρα, καὶ θρόνος ὤφθης ὑψηλός, σωματώσασα Κόρη, τὸν ἀπερινόητον· ὅθεν κἀμέ, ἀπὸ λάκκου παθῶν, πρὸς ὑψηλάς, ὕψωσον ἐφέσεις, ἵνα ὑμνῶ σε Πανύμνητε.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν ὁρώντων σε.

Τὴν πενταυγῆ χορείαν Νεομαρτύρων, μαρτυρικοῖς ὑμνήσωμεν ἐγκωμίοις· ἐκ Σαμοθράκης γὰρ οὗτοι ἔλαμψαν, καὶ ἐν τῇ Μάκρῃ ἤθλησαν· καὶ νῦν ἡμῖν ἱλεοῦνται, τὸν Βασιλέα τῆς δόξης.

Τὸ τῆς Ἑορτῆς, ἢ τὸ ἑξῆς Θεοτοκίον.

Τὸν ποιητὴν τεκοῦσα καὶ Βασιλέα, τῶν ποιημάτων πέφηνας ἀνωτέρα, ἄνασσα δὲ πάντων Ἀειπάρθενε, καὶ κόσμου ἱλαστήριον· ὅτι τῇ σῇ μεσιτείᾳ, ἐξιλεούμεθα πάντες.



Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ' καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Ἡ Σαμοθράκη ἀγάλλου· ἐκ σοῦ γὰρ ἤνθησαν, οἱ νέοι Ἀθλοφόροι, ὡς μυρίπνοα ἄνθη, καὶ τούτων τοὺς ἀγῶνας τοὺς θαυμαστούς, καὶ τὰ τρόπαια ὕμνησαν, χαίρετε τούτοις βοῶσα χαρμονικῶς, Νεομάρτυρες πεντάριθμοι.

Ἀγαλλιᾶται ἡ Μάκρη ἐν τῇ ἀθλήσει ὑμῶν, δι' ἧς τροπαιοφόροι, καὶ γενναῖοι ὁπλῖται, Χριστοῦ τοῦ Βασιλέως τῶν οὐρανῶν, Νεομάρτυρες ὤφθητε, καὶ πολιούχους πλουτοῦσα ὑμᾶς θερμούς, τὴν ὑμῶν τελεῖ πανήγυριν.

Τοὺς τοῦ Χριστοῦ ἀριστέας καὶ Νεομάρτυρας, τοὺς κρατεροῖς ἀγῶσι, καθελόντας τὸν ὄφιν, τοὺς δύο Γεωργίους σὺν Μανουήλ, Μιχαὴλ καὶ Θεόδωρον, ἀνευφημήσωμεν πάντες ὡς τῆς ἡμῶν πολιτείας ἀντιλήπτορας.

Τοὺς ἑορτάζοντας πόθῳ ὑμῶν τὴν ἄθλησιν, νεοφανεῖς ὁπλῖται, τοῦ τῶν ὅλων Δεσπότου, ῥύσασθε κινδύνων πολυειδῶν, καὶ δεινῶν περιστάσεων, ὑπὲρ ἡμῶν δυσωποῦντες τὸν Λυτρωτήν, Νεομάρτυρες πεντάριθμοι.

Δόξα. Ἦχος πλ. α'.

Τῇ τοῦ ἔαρος ὥρᾳ, ἡ τῆς ἀθλήσεως ὑμῶν μνήμη ἐπέστη, μαρτυρικῇ χάριτι εὐφραίνουσα, τὰς διανοίας τῶν πιστῶν, Νεομάρτυρες πεντάριθμοι· ὑμεῖς γὰρ σοφῶς ἐβουλεύσασθε, τὸ θανεῖν ὑπὲρ Χριστοῦ, ὡς ἂν τῆς τούτου ἐγέρσεως, κοινωνοὶ γένησθε· καὶ μαρτυρικοῖς ἀγῶσι, τῆς ἀληθείας τὸ κράτος δοξάσαντες, τῆς αἰωνίου δόξης ἠξιώθητε, τῶν μακαρίων ἐπάθλων, σὺν τοῖς πάλαι Ἀθληταῖς τυχόντες. Ἀλλ' ὦ Μανουὴλ καὶ Θεόδωρε, καὶ Μιχαὴλ καὶ Γεώργιοι, τῷ ἀθλοθέτῃ Λόγῳ πρεσβεύσατε, ὑπὲρ ἡμῶν δεόμεθα.

Καὶ νῦν. Τὸ τῆς Ἑορτῆς, ἢ τὸ Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Ἢ τὸ τοῦ Πάσχα.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει...

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων ἡ γ' καὶ στ' ᾠδή. Ἀπόστολον ζήτει τῇ κζ' Κυριακῇ. Εὐαγγέλιον τὸ τοῦ Ἁγίου Γεωργίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάριον.

**Ο**ἱ τῆς Σαμοθράκης κλεινοὶ βλαστοί, Γεώργιος ἅμα, καὶ Θεόδωρος Μανουήλ, Μιχαὴλ σὺν τούτοις, Γεώργιος ὁ ἄλλος, οἱ πολιοῦχοι Μάκρης, ἀνευφημείσθωσαν.

Δίστιχον.

Πεντάδα Γεράσιμος Νεομαρτύρων
Ὕμνοις καινοῖς ὕμνησε δυνάμει θείᾳ.